513 ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ: αἱ Ἀριστάρχου „πέσσοι“. Παρμενίσκος δὲ ἐν τῷ α' πρὸς Κράτητα ὡς Ἀριστάρχειον γραφὴν προφέρεται „ἀλλ' ὥς τις κείνων γε“. A. — Cod. αἱ ἀριστοφ st. αἱ Ἀριστάρχου, corr. Lehrs und ebenso Kayser Philol. XXI 328 (während Nauck Aristoph. p. 21 ἡ Ἀριστοφάνους vermuthete).

524 μῦθος δ', ὃς μὲν νῦν ὑγιής, εἰρημένος ἔστω,
τὸν δ' ἠοῦς Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω:

*ἀθετοῦνται δύο στίχοι. Ariston.

526 εὔχομαι ἐλπόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν: οὕτως ἡ γραφὴ „εὔχομαι ἐλπόμενος“, οὐ τὸ ἐναντίον. A[t]. *Ζηνόδοτος γράφει „ἔλπομαι εὐχόμενος“. Aristonikos; s. dens. zu *Ξ* 45.

528 οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν: *ἀθετεῖται. Ariston. ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν. A.

535 Ↄ αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ' ἐμὸν ἔγχος
Ↄ μείνῃ ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν, ὀίω,
Ↄ κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
. ἠελίου ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὣς
. εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα,
(τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,)
. ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν:

*ὅτι ἢ τούτους δεῖ τοὺς τρεῖς στίχους μένειν, οἷς τὸ ἀντίσιγμα παράκειται [535—537], ἢ τοὺς ἑξῆς τρεῖς, οἷς αἱ στιγμαὶ παράκεινται [538. 539. 541]· εἰς γὰρ τὴν αὐτὴν γεγραμμένοι εἰσὶ διάνοιαν. ἐγκρίνει δὲ μᾶλλον ὁ Ἀρίσταρχος τοὺς δευτέρους διὰ τὸ καυχηματικωτέρους εἶναι τοὺς λόγους [s. Ariston. zu Vs. 526]· ὁ δὲ Ζηνόδοτος τοὺς πρώτους τρεῖς οὐδὲ ἔγραφεν. Ariston. (τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος, ἃ καὶ ὁ Ἀριστόνικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου. A.) Pluygers De carm. Hom. veterumque in ea scholior. retract. edit. p. 3

---

28 *Statt* μένειν *wäre angemessener* ἀθετεῖν. Nauck Mélanges Gr.-Rom. IV 142. 29 στιγμαὶ παράκεινται] darnach ἢ τοὺς ἑξῆς τρεῖς wiederholt, aber durch darübergesetzte Punkte getilgt A. 35 διὸ A.

und 6 muthmasste zuerst, dass der aus *N* 827 interpolirte Vs. 540 *τιοίμην κτέ.* dem Aristarch unbekannt war und dass er im Ven. A fälschlich statt des Verses 541 mit der *στιγμή* (s. zu *B* 192) bezeichnet ist. Oder gehörten Zeichen und Scholion ursprünglich zu Vs. 532—537?

538 *οὕτως διὰ τοῦ εἴ τὸ „εἰ γὰρ ἐγὼν ὥς", καὶ τὸ „ἀγήρως" διὰ τοῦ ω̃.* A. Andere *αἲ γὰρ* und *ἀγήραος.*

557 *ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ:*

**ἀθετεῖται* [557], *ὅτι οἰκειότερον ἔχει κατὰ τὴν Πατρόκλου ἐπιφάνειαν* [*Π* 299]. *καὶ ὁ ἑξῆς δὲ συναθετεῖται αὐτῷ.* Ariston. *οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης.* A. Vgl. Einl. S. 57.

559 *πάντα δέ τ' εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν:*

ἄνευ τοῦ „τέ". V mit dem Lemma *εἴδεται.* Also las Aristarch *πάντα δὲ εἴδεται.*

560 *τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων:*

**τινὲς γράφουσιν „ὡς τὰ μεσηγὺ νεῶν".* Ariston. Gehörte zu ihnen Zenodot? Der Vers führt im Ven. A die *διπλῆ περιεστιγμένη.* (*γράφεται καὶ „τοῖα μεσηγύ" καὶ „ὡς τὰ μεσηγύ".* A[t]. Aristarchisch ist keins von beiden, sondern *τόσσα μεσηγύ.*)

562 *χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλαι πυρὸς αἰθομένοιο:*

**Ζηνόδοτος γράφει „μύρια".* Ariston. (welcher gleich darauf *ἐν δὲ* statt *πὰρ δὲ* citirt. Nauck hält jenes für die Zenodotische Lesart, irrigerweise; denn mit *ἐπιφέρει δὲ* beginnt des Aristonikos Widerlegung, und als Subject ist *Ὅμηρος* hinzuzudenken. Vgl. Ariston. *Γ* 432. *E* 842. *Z* 417. *H* 482. *Λ* 104. 328. 368 u. ö. Höchstens könnte man in dem betreffenden Citat Aristarchische Schreibung vermuthen, wiewohl auch das gewagt wäre: s. Einl. S. 66. *Si revera ἐν ἑκάστῳ σέλαι legit, hoc sine dubio intellexit ut ἐν πυρὸς αὐγῇ I 206.* Friedländer.) Vgl. Aristonikos zu Vs. 56.

---

3 Viel unwahrscheinlicher ist Bekker's Vermuthung Il. p. 459, dass in dem Schol. *τοὺς ἑξῆς τρεῖς* aus *τοὺς ἑξῆς τέσσαρας* verdorben sei. 6 *εἰ τὸ εἴ* und *ὥς* A. 13 *οὐκ ἐφέροντο τὰ γ̄* [so] *παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης τὰ γ̄.* V (mit dem Lemma *πάντα δέ τ' εἴδεται ἄστρα*). Vgl. Ad. Römer in Fleckeisen's Jahrb. 1879 S. 85.

ΙΛΙΑΔΟΣ Ι.

3 *πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι*: *ἔνιοι „βεβλήατο", καὶ Ζηνόδοτος οὕτως. Ariston.

4 *ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα*: [ἡ] Ἀριστοφάνειος „ἀνέμω" δυϊκῶς. A[t].

7 *κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευεν*: διχῶς, καὶ διὰ τοῦ ᾱ [d. i. ἔχευαν]. A[t].

ἂν δ' Ἀγαμέμνων

14 *ἵστατο δακρυχέων ὥς τε κρήνη μελάνυδρος* —: *Ζηνόδοτος γράφει „[ἵστατο δακρυχέων,] μετὰ δ' Ἀργείοισιν ἔειπεν· ὦ φίλοι Ἀργείων". περιῄρηκε δὲ πάντα τὰ κατὰ τὴν παράθεσιν [15. 16]. Ariston.

16 *ὡς ὃ βαρὺ στενάχων ἔπε' Ἀργείοισι μετηύδα*: *τινὲς γράφουσιν „ὡς ὅ γε δακρυχέων". Ariston.

17 *ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες*: *ἐνθάδε [οὕτως] γραπτέον . . . ὅταν δὲ ἀπόπειραν τῷ πλήθει προσάγῃ, προσφυέστερον γράφεται „ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος" [*B* 110]. Ariston.

18 *Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ*: Ἀρίσταρχος σὺν τῷ σ̄ „μέγας". A[t]. (ὅτι „μέγα" δεῖ γράφειν, ἀντὶ τοῦ μεγάλως, ὡς σάφα. ἀδόκιμος δὲ πάνυ ἡ μετὰ τοῦ σ̄, „μέγας". Aristonikos, der sich im Irrthum befindet, was Cobet Mnemos. 1876 p. 259 nicht deutlich genug ausgesprochen hat: s. zu *B* 111. Lehrs Arist.[2] 27.)

19 *σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν*: Ἀρίσταρχος „ὃς τότε μέν μοι". A[t]. (ὅτι νῦν οὕτως γραπτέον „ὃς τότε μέν μοι" . . . ἐν ἐκείνοις μέντοι [*B* 112] „ὃς πρὶν μέν μοι". Ariston.)

23 *οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,*
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον: *ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἄμεινον ταῦτα λέγειν ἐν τῇ ἀποπείρᾳ [*B* 116 ff.]. Ariston. παρὰ Ζηνοδότῳ οὐκ ἐφέροντο· καὶ

---

5 ἢ ὡς Ἀριστοφάνης „ὡς δ' ἀνέμω". so V. ἡ fügte Vill. zu. 10 μετὰ δ' Heyne V p. 528 und Bekker Scholl. p. 830 st. μετ'. 12 παράθεσιν] παραβολὴν conj. Cobet. 16 οὕτως fügte Friedländer zu. 20 σὺν τῷ σ̄ τὸ „μέγας". L*V. 26 „ὃς τότε μέν μοι"· οὕτως Ἀρίσταρχος . . . ἐκεῖ δὲ „πρίν", διὰ τὸ „ἀστράπτων ἐπιδέξια" [*B* 353]. γράφεται δὲ καὶ ἐνταῦθα „ὃς πρὶν μέν μοι". L*V. 33 παρὰ τῷ Ζηνοδότῳ οὐκ ἐφέροντο οἱ τρεῖς.

Ἀριστοφάνης δὲ ἠθέτει. A^t. *Ζηνόδοτος ἦρκε τοὺς στίχους* [23—31] . . . *τὴν δὲ συνέπειαν οὕτως ποιεῖ*

„δυσκλέα Ἄργος ἱκέσθαι, [ἐπεὶ πολὺν ὤλεσα λαόν.]
ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο, θυμὸν ἀχεύων·
τοῖσι δ' ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης.“

Aristonikos; s. denselben zu *B* 116. Lehrs Arist.^{2} 342.

32 *Ἀτρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι:* *Ἀρίσταρχος διὰ τοῦ η „μαχήσομαι“.* A^t. Vgl. zu *A* 298.

36 *ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες:* *οὕτως Ἀρίσταρχος „ἠμὲν νέοι ἠδὲ γέροντες“. γράφεσθαι δέ φησι καὶ „ἡγήτορες ἠδὲ μέδοντες“.* A^t. **Ζηνόδοτος γράφει „ἡγήτορες ἠδὲ μέδοντες“.* Ariston. Zu *φησι* hat Lehrs beigeschrieben: *Didymus.* Für diesen Gebrauch des Verbums wüsste ich jedoch aus diesen Fragmenten kein Analogon anzuführen; ich glaube daher, dass hier, was ohnehin näher liegt, Aristarch als Subject zu denken ist. Vgl. zu *N* 12.

ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
44 *ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί:*

**ἀθετεῖται* [44] . . . *οἱ δὲ γράφουσιν „νῆες δέ τοι ἀμφιέλισσαι“, ὥστε παντελῶς* [*μὴ παντελῶς?* Friedländer] *ἀποκρίνεσθαι τὸν στίχον.* Aristonikos; s. denselben zu Vs. 43.

57 *ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάις εἴης:* *διὰ τοῦ ε αἱ Ἀριστάρχου „ἦ μὲν καὶ νέος“.* A^t.

66 *δόρπά τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι*
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός:

Ἀρίσταρχος διὰ τοῦ α „φυλακτῆρας“, τοὺς φύλακας. A.

73 *πᾶσά τοι ἔσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις:* **ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ι* [nämlich *ὑποδεξίῃ*]. *ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τῆς ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ* (*τῶν Ἀντιφάνους*) *παράδοσις.* Herodian *ἐν τῇ καθόλου* (p. 292, 23 Lentz), citirt im Ven. A. Für *τῶν Ἀντιφάνους* conjicirte Villoison Il. p. XXIII *τοῦ Ἀριστοφάνους*, Lehrs Her. p. 248 *τῶν ἀντιγράφων*: aber beides verstösst entschieden ebenso gegen Herodian's Gebrauch wie das

καὶ [dies fehlt L*] *Ἀριστοφάνης* [*Ἀριστοτέλης* V] *δὲ ἀθετεῖ.* L*V. 4 *κατ' ἄρ' ἕζετο*] *an ἐκαθέζετο ?* Nauck; s. aber Einl. S. 174. 5 *μετέφη*] *προσέφη* Bekker. *κρατερὸς*] *κρείων* Bekker Il. p. 460 und ebenso Nauck; weshalb? 19 *δέ τοι* Heyne V p. 533 st. *μέν τοι.* 26 *Ἀρίσταρχος δὲ „φυλακτῆρας“.* L*V. 27 *ἔσθ'* A.

von Bekker recipirte τοῦ Ἀντιφάνους (s. Her. *Γ* 344. *Ε* 31. *Τ* 62. *Υ* 72. *Φ* 162 und *Α* 129. *Δ* 138. *Ε* 289. *Η* 289. *Θ* 178. *Ι* 449. 605. 614. *Λ* 239. 385. 409. *Ν* 103. 391. *Ο* 302. 619. 705. *Π* 47. 185. *Ρ* 40. *Σ* 191. *Τ* 335. 357. *Υ* 53. 357. *Φ* 38. *Ψ* 266. *Ω* 316). Nach meinem Dafürhalten ist τῶν Ἀντιφάνους durch irgend ein Versehen hierher verschlagen und als ungehöriges Emblem ganz zu streichen; Cobet (bei Dindorf) vermuthet, dasselbe sei (emendirt) in das nachfolgende Didymos-Scholion einzuschalten: *legendum videtur* οὕτως ἔχει ἡ παράδοσις. ἡ Ἀριστοφάνους „πολέεσσι δ' ἀνάσσεις“· αἱ δὲ Ἀριστάρχου οὕτως —, *aut* πολέεσσι δ' ἀνάσσεις: οὕτως ἔχει ἡ Ἀριστοφάνους· αἱ δὲ Ἀριστάρχου οὕτως —. Doch ist dies gar zu unsicher.

αἱ (δὲ) Ἀριστάρχου οὕτως εἶχον διὰ τοῦ γάρ „πολέσιν γάρ“. ἔχει δέ τι Ὁμηρικὸν καὶ ἡ διὰ τοῦ „δέ“. A.

μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
76 ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά —:

οὕτως γράφεται „ὅτι δήιοι“. A[t]. Andere ὅτε.

78 νὺξ δ' ἥδ' ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει:

δι' ἑνὸς ρ̄ αἱ Ἀριστάρχου. A[t]: d. i. διαραίσει. Vgl. zu Vs. 154. 299.

86 κοῦροι ἅμ' ἔστειχον δολίχ' ἔγχεα χερσὶν ἔχοντες:

Ἰακῶς τὸ „στεῖχον“ αἱ Ἀριστάρχου, „ἅμα στεῖχον“. A[t].

88 ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος:

διὰ τοῦ ᾱ „δόρπα“ αἱ Ἀριστάρχου. ἄκαιρος δὲ Ζηνόδοτος γράφων „τίθεντο δὲ δαῖτα θάλειαν“· ἄτοπον γὰρ θαλιάζειν τοὺς πένθει ἀτλήτῳ τὴν ψυχὴν βεβλημένους. A. *Nonne Aristarchus legerit etiam* ἕκαστοι? Lehrs. Das Scholion scheint aus Didymos und Aristonikos compilirt, wie schon W. C. Kayser Philol. XXI 324 annahm.

89 Ἀτρείδης δὲ γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν:

Ἀρίσταρχος „ἀριστέας ἦγεν Ἀχαιῶν“. A[t]. *Hoc si recte traditum videbitur* ἀολλέας *de septem principibus (v. Δ 343) una ad coenam euntibus ita alienum habuisse, ut maluerit tamen, cum has duas tantum invenisset lectiones,* ἀριστέας *(*κίκλησκεν δὲ γέροντας ἀρι-

---

13 Ἀρίσταρχος „πολέσιν γὰρ ἀνάσσεις“. A[t]. Ἀριστάρχου bezweifelt Lehrs. πολέσσι γάρ A. 18 γράφεται] γρ A[t]; vielleicht γραπτέον? ὅτι] ὃ A[t]. 24 Ἀρίσταρχος μετὰ τοῦ ᾱ „δόρπα“. A[t]. 31 Ἀρίσταρχος „γέροντας ἀριστῆας“. so A[t], dieses auf der linken, das obige auf der rechten Seite des Textes.

στῆας Παναχαιῶν B 404) quamquam propter consuetudinem Homericae declinationis summopere dubitabile, quod utique eum non latuit. In Homericis exemplaribus hanc formam legit Quintus: qui ex hoc genere solum usus est τοκέεσσι et τοκέων — — et ἀριστέες 12, 28. ἀριστέας 12, 71. 268. 13, 517: qui ut illorum exemplum habuit in Homerico τοκέων Φ 587 et fortasse O 660, sic horum habuisse non dubitamus. Nec alia sunt apud Homerum (ἱππεῖς enim Λ 151 si antiquum [v. Quaest. ep. p. 242] *iam non prorsus simile et illo maxime loco excusabilius). Sed de Aristarchea lectione sane ex Quinto nihil omnino sequitur. Est cur annotem apud Vill. haec sic edita esse: γέροντας ἀολλέας) Ἀρίσταρχος γέροντας ἀριστῆας.* Lehrs. Vgl. die Note zu S. 299, 31. (Einl. S. 113.)

109 *πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ:* οὕτως Ἀρίσταρχος „ἀπεμυθεόμην". A^t. (ἀπηγόρευον, ἐκώλυον. γράφεται δὲ καὶ „ἐπεμυθεόμην", ἵν' ᾖ ἀπελογιζόμην. A. ἀπεμυθεόμην: ἀπηγόρευον. γράφεται δὲ καὶ „ἐπεμυθεόμην", ἵν' ᾖ ἐπετελλόμην. Apoll. Soph. p. 38, 7.)

112 *φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν:* Ἀρίσταρχος „πεπίθωμεν"· (ἔστι γὰρ πίθωμεν.) A^t. Vgl. zu Vs. 397. Friedländer Ariston. p. 10. — Rühren die eingeklammerten Worte, die ich nicht verstehe, von Didymos her, so könnten sie etwa aus ἔστι γὰρ πιθανώτερον verdorben sein: *H* 32. 238. *N* 12. *Σ* 492. 499. Lehrs Arist.[2] 24 f.

128 *δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας:* Ἀρίσταρχος μετα τοῦ σ̄ „ἀμύμονας". A^t zweimal, rechts und links vom Text. Damit steht im Widerspruch Aristonikos ὅτι χωρὶς τοῦ σ̄ γραπτέον κτέ. und das Schol. V „ἀμύμονα"· οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ „ἀμύμονας". Da jedoch Didymos auch zu Vs. 270 ἀμύμονας als die Aristarchische Lesart bezeichnet (V schweigt hier), so hat Lehrs bei Friedländer Ariston. p. 156 wohl mit Recht angenommen, dass Didymos hier wie zu *B* 111 ein σχολικὸν ἀγνόημα corrigire: s. Einl. § 18. (Anders Cobet Miscell. crit. p. 288: *Scribae nobis imponunt, qui bis ἀρίσταρχος scripserunt ubi ἀριστοφάνης scriptum oportuit. Coaluerunt in unum duae annotationes, altera Aristonici: ἡ διπλῆ ὅτι — αἳ κάλλει ἐνίκων, altera Didymi: Ἀριστοφάνης μετὰ τοῦ*

---

15 *ἀπεμυθευόμην* A: *ἐπεμυθεόμην v. l. ap. Apoll. lex. Hom. 144 et Hesych. I 436.* Spitzner. 18 *ἀρεσσάμενοι* [ο über *ά*] *πεπίθοιμεν* [ω über *οι*] A im Text. 19 *διὰ τοῦ ω̄ ἡ γραφή.* V.

σ̄, *et sic iterum ad vs. 270 repone.* Die Gewaltsamkeit dieser dreimaligen Namensänderung möchte ich nicht verantworten.)

τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων,

132 *κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι:* *Ἀρίσταρχος „κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι“.* A[t]. Vgl. zu Vs. 274. (*Αὐτόχθων* [so!] *δίχα τοῦ ν̄ τὸ „κούρη Βρισῆος“.* V.)

140 *αἴ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν:* **ἔνιοι ὑποτάσσουσι στίχον „τὴν γὰρ ἀπ' αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ“, εὐήθως πάνυ.* Ariston.

153 *πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος:* **ὡς κέαται. σημαίνει δὲ τὸ ναίονται . . . Ἀπολλώνιος* [*'l. Ἀπολλόδωρος ex schol. L'* Lehrs] *δὲ διὰ τοῦ κ̄ γράφει „κέαται“.* Herodian. Aristonikos spricht nur von *νέαται.*

154 *ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται:* *διὰ τοῦ ἑτέρου ρ̄ τὸ „πολύρρηνες“ αἱ Ἀριστάρχου.* A[t]: also *πολύρηνες*; denn bei Didymos ist *διὰ τοῦ ἑτέρου* = *διὰ τοῦ ἑνός*, wie namentlich folgendes Scholion beweist: *Φ* 262 *οὕτως „φθάνει“ διὰ τοῦ ἑτέρου ε̄, οὐ „φθανέει“.* (Vgl. Ariston. *I* 313. *M* 93. *κ* 354. Herodian *Ψ* 731.) Irrthümlich nahmen es Dindorf Scholl. Od. p. 820[b] und La Roche Didym. p. 14 mit Heyne V p. 561. 589. VII p. 12. 28 für *διὰ δύο*, obwohl schon Bekker Scholl. Il. p. 818[c] das Richtige angedeutet hatte. Vgl. *O* 31 *ἀπολλήξῃς*] *διὰ τοῦ ἑτέρου λ̄ αἱ Ἀριστάρχου* (A[t]) und *δι' ἑνὸς λ̄ ὀφείλει γρ'* (V), was sich deckt.

155 *οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσουσι:* *Ἀρίσταρχος „τιμήσονται“.* A[t]. Vgl. zu Vs. 297.

158 *δμηθήτω· Ἀίδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος:* *παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει „καμφθήτω“.* A[t].

159 *τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων:* *φησὶν ὁ Ἀρίσταρχος, ὅτι ἔνιοι ὑποτάσσουσι τούτῳ „οὕνεκ' ἐπεί κε λάβῃσι πέλωρ ἔχει οὐδ' ἀνίησιν“· οὐκ εἶναι δὲ ἀναγκαῖον.* A. Vgl. zu Vs. 401.

---

6 *δίχα τοῦ ν̄ τὸ „κούρη“.* B. 12 *ὡς κέαται* [beides fehlt L*]. *σημαίνει* [*δὲ* ausgestrichen und unterpunktirt V] *τὸ οἰκοῦνται . . . Ἀπολλόδωρος δὲ γράφει „κέαται“.* L*V. 29 *ζηνόδο̊* A[t]. *Ἀριστοφάνης „καμφθήτω“.* V. 31 *ἔνιοι τοῦτο ὑποτάσσουσιν „οὐκ* [so] *ἐπεί κε λάβῃσι πέλωρ ἔχει οὐδὲν ἀνίησι“.* V (mit dem falschen Lemma *ἀμείλιχος ἠδ' ἀδάμαστος*), nachträglich ausgestrichen.

167 *εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼ ἐπιόψομαι, οἱ δὲ πιθέσθων*: *Ἀρίσταρχος* „*ἐγώ*“, *ἄλλοι δὲ* „*ἐγών*“. A^t. *An recte?* Lehrs.

170 *κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων*: **ἀντὶ* [*τοῦ*] *ἑπέσθωσαν*. Ariston. *γράφεται δὲ καὶ χωρὶς τοῦ* ν̄ [d. i. *ἑπέσθω*]. A^t. Aristarch *ἑπέσθων*.

191 *δέγμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων*: *γράφεται καὶ* „*δέχμενος*“ *διὰ τοῦ* χ̄. A^t. Vgl. zu *Θ* 296.

197 *χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον. ἦ τι μάλα χρεώ*: *Παρμενίσκος προφέρεται* „*ἱκάνετον ἡμέτερον δέ*“. A^t. *Post δέ exciderunt fortasse verba ὡς Ἀριστάρχειον γραφήν. Cf. Θ 513.* Schmidt Did. p. 136, vielleicht richtig.

198 *οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φιλτάτω ἐστόν*: *καὶ ἐνθάδε* [wie Vs. 197] *τινὲς δυϊκῶς*, „*φιλτάτω*“. A^t. Aristarch und Andere *φίλτατοί ἐστον*.

203 *ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστῳ*: *οὕτως* „*κέραιε*“ *χωρὶς τοῦ* ρ̄. (*μέμνηται καὶ Ἡρωδιανός*.) A^t. *δίχα τοῦ* ρ̄ *Ἀριστοφάνης* „*κέραιε*“. L*V. Wenn der Name nicht, wie ich glaube, für *Ἀρίσταρχος* verschrieben ist, muss Aristarch hier dem Aristophanes gefolgt sein. (*ἰστέον δὲ ὅτι τῶν τινὰ ἀντιγράφων τὸ κέραιε* „*κέραιρε*“ *φασίν, ὀλίγα μέντοι καὶ οὐδὲ τὰ ἀκριβέστερα*. Eust. 746, 48.) Vgl. Lentz Philol. XXI 392 = Her. I p. CXX.

210 *καὶ τὰ μὲν εὖ μίστυλλε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε*: **διὰ τοῦ ἑτέρου* λ *τὸ* „*μίστυλε*“. L*V. Vgl. zu *K* 258.

212 *αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη*: *ἔνιοι γράφουσιν* „*αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ*“. *ὁ δὲ Ἀρίσταρχος ταύτην* [d. i. die Vulgata] *προέκρινεν. ἔνιοι δὲ γράφουσιν* „*αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο. παύσατο δὲ φλόξ*“. L*V. **ἔν τισι γράφεται* „*αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ*“. Ariston.; s. dens. zu *Ψ* 228.

---

2 *τὸ δὲ* „*ἐγώ*“ *ἄνευ τοῦ* ν̄. L*V. 4 *τοῦ* fügte Vill. zu. *ἐπέσθωσαν* A^t. 7 *δεχόμενος* A^t, corr. Vill. 9 *ἡμέτερόνδε* Bekker. 13 *δυϊκος* A^t. 15 *κέραιρε* L*V. 16 *οὕτως* corr. Vill., *οὐ* A^t, strich Bekker. 23 *μίστυλε* L*V. 26 *γράφουσιν*] *γὰρ* V. *ἀπέπτατο*] *ἀπέπαυτο* V. 28 *γράφουσιν*] *γάρ*, aber unterstrichen und darüber *γρ'* V. 29 *δὲ φλόξ*] *γρ' δὲ καὶ ἐκάη* fügt V zu. *καὶ ὅτι τινὲς τὸ* „*αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη*“ *μεταγράφουσιν οὕτως* „*αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ*“. *δοκεῖ δὲ γελοία τοῖς παλαιοῖς ἡ τοιαύτη γραφή*. Eust. 748, 41.

214 *πάσσε δ' ἁλὸς θείοιο κρατευτάων ἐπαείρας:* Ἀρίσταρχος „ἀπαείρας“, ἀπὸ τῶν κρατευτάων ἄρας. A[t].

215 *αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔχευεν:* *διχῶς, καὶ „ἔθηκεν“. V. (ἐν ἄλλῳ „ἔθηκεν.“ A[t]L.)

222 *αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο:* φαίνονται καὶ παρ' Ἀγαμέμνονι, πρὶν ἐπὶ τὴν πρεσβείαν στείλασθαι, δειπνοῦντες· φησὶ γοῦν „αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός, ὡρμῶντ' ἐκ κλισίης“ [177]. ἄμεινον οὖν εἶχεν ἄν, φησιν ὁ Ἀρίσταρχος, [εἰ] ἐγέγραπτο „ἆψ ἐπάσαντο“, ἵν' ὅσον χαρίσασθαι τῷ Ἀχιλλεῖ γεύσασθαι μόνον καὶ μὴ εἰς κόρον ἐσθίειν καὶ πίνειν λέγωνται. ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλαῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν. A. In der Handschrift fehlt εἰ und steht irrthümlich noch ἢ ἐψεπάσαντο hinter ἆψ ἐπάσσαντο: den einen Fehler hat Bekker, den andern Villoison aus A[t] (ἄμεινον φησὶν εἶχεν Ἀρίσταρχος, εἰ ἐγέγραπτο „ἆψ ἐπάσαντο“) verbessert.

225 *χαῖρ', Ἀχιλεῦ· δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευεῖς:* ἔνιοι προστιθέασι τὸ σ̄, „οὐκ ἐπιδευεῖς“, κακῶς. οὗτοι δὲ καὶ τὸ ἑξῆς περισπῶσιν „ἦμεν ἐνὶ κλισίῃ“, ἵν' ᾖ „ἦμεν“ ἐτυγχάνομεν. Ἀρίσταρχος δὲ χωρὶς τοῦ σ̄. A. Am Anfang habe ich mit V ἔνιοι für ὅτι geschrieben (‘*coaluisse videtur ex Aristonico et Didymo*’ Friedländer), während Lehrs τινὲς nach προστιθέασι einschalten wollte. — *Quo loco nec* ἦμεν *placet, quod nonnulli habebant, nec Aristarcheum* ἐπιδευέι *(vel potius* ἐπιδευῇ*).* Lehrs Arist.[2] 365.

236 *Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων:* τὸ (δὲ) „σφί“ δίχα τοῦ ν̄. V. Vgl. zu *Ν* 713. *ι* 145.

---

2 διὰ τοῦ ᾱ. V (mit dem falschen Lemma κρατευτάων). Schmidt Did. p. 136: *Dubito num potius in* λέξεσι *Aristarchi scriptum fuerit.* Warum nicht in den Ausgaben? 6 Ἀρίσταρχος γράφει „ἆψ ἐπαύσαντο“ [so]· ἤδη γὰρ ἦσαν παρ' Ἀγαμέμνονι κορεσθέντες. οὐ μετέθηκε δὲ τὴν γραφήν. V. 8 κλῄσίης A, d. i. ϊ aus η corr. (oder umgekehrt). 9 ἐπάσσαντο A. 12 οὕτως εὑρὼν A. 14 ἢ ἐψ' ἐπάσαντο A, *quod* αἶψ' *esse posse monet Cobetus.* Dindorf. Und das sollte Aristarch als ἄμεινον bezeichnet haben? Dittographien habe ich aus dem Ven. A zu *Γ* 126. *Θ* 213. 535. *Λ* 455. *Π* 507. *Σ* 506 angeführt; vgl. ausserdem Einl. S. 97 und Dind. I p. 139, 11. 17. 19. 165, 10. 181, 9. 195, 12. 218, 4. 248, 15. 253, 30. 303, 27. 343, 15. 432, 4 u. ö. 17 ἐπιδευῆς A (im Text). 18 ἔνιοι δὲ προστιθεῖσι δαιτός [‘*l.* τὸ σ̄’ Lehrs]· οὗτοι δὲ καὶ τὸ „ἡμέν“ ῥῆμα φασίν. V. 27 δε σφι V.

242 *αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός, αὐτὰρ Ἀχαιούς:* Ἀρίσταρχος „ἐμπλήσειν". A[t].

270 *δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονας ἔργ' εἰδυίας:* οὕτως Ἀρίσταρχος μετὰ τοῦ σ̄ „ἀμύμονας". A[t]. Vgl. zu Vs. 128.

τὰς μέν τοι δώσει, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρα,
274 *κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται:* Ἀρίσταρχος γράφει „κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον". A[t]. Vgl. zu Vs. 132.

297 *οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσι:* *οὕτως γὰρ Ἀρίσταρχος „τιμήσονται", ὡς ἐλεύσονται. Aristou. (Cod. A τιμήσωνται und ἐλεύσωνται, corr. Lehrs: s. zu *Λ* 686.) Vgl. zu Vs. 155.

299 *ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο:* διὰ τοῦ ἑτέρου λ̄ τὸ „μεταλλήξαντι" αἱ Ἀριστάρχου. A[t]: d. i. μεταλήξαντι. Vgl. zu Vs. 154 und *K* 258.

310 *ᾗ περ δὴ κρανέω τε καὶ ὡς τετελεσμένον ἔσται:* Ἀρίσταρχος „ᾗ περ δὴ φρονέω". A[t]. (γράφεται καὶ „κρανέω", ἵν' ᾖ ἀντὶ τοῦ τελειώσω. L.)

317 *μάρνασθαι δηίοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί:* Ἀρίσταρχος „ἐπ' ἀνδράσι". A[t] zweimal, rechts und links vom Text.

322 *αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν:* οὕτως Ἀρίσταρχος „πολεμίζειν" κατὰ τὸ ἀπαρέμφατον. A[t]. *Alii opinor* πολεμίζων. Wolf Prolegom. p. CCXLII.

ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
324 *μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δέ τέ οἱ πέλει αὐτῇ:* διὰ τοῦ „ἄρα" γράφουσιν. οὕτως δὲ καὶ αἱ Ἀριστάρχου· αἱ δὲ εἰκαιότεραι „κακῶς δέ τέ οἱ πέλει αὐτῇ". A. — Cod. γράφουσι καὶ αἱ Ἀριστάρχου οὕτως δέ (Villoison und Bekker, denen in der Hauptsache auch Dindorf beigetreten ist: γράφουσιν αἱ Ἀριστάρχου, κακῶς δ' ἄρα οἱ): ich habe durch Umstellung von οὕτως δέ zu bessern gesucht. Wortversetzungen kommen auch im Ven. A nicht selten vor: s. zu *K* 252.

349 *καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ*
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν:

---

7 κούρης A[t], corr. Vill. βρησῆος A[t], Βρισηΐς Vill. Bekk. 9 τιμήσωσι A (im Text). 11 Lehrs] ebenso Bekker Il. p. 461 zu Vs. 155. 16 ἤπερ V. 17 αἱ Ἀριστάρχου „φρονέω". τὸ δὲ „κρανέω" ἀντὶ τοῦ τελειώσω, πληρώσω. V. φρονίων A[t], corr. Vill. 26 Ἀρίσταρχος „κακῶς δ' ἄρα οἱ". A[t]. 27 αὐτή A. 33 ἔδειμε A.

ἐν τῷ περὶ Ἰλιάδος καὶ Ὀδυσσείας ὁ Ἀρίσταρχος προφέρεται „καὶ ἥλασεν ἔκτοθι τάφρον", καὶ ἐν τῷ ἑξῆς „περὶ δὲ σκόλοπας κατέπηξεν". εἰσὶ δὲ οὐκ ἄτοποι αἱ γραφαί. A. Vgl. Einl. § 34.

368 *αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων*: *καὶ „ἐνυβρίζων", διχῶς.* A[t]V. (In V fehlt *καί*, in A[t] *διχῶς*: s. Einl. S. 150 Anm. 174.)

382 *Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται*: *γράφεται καὶ „ῇ" ἀντὶ τοῦ „ὅθι".* A[t].

383 *αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστας*: *Ἀρίσταρχος „ἑκάστας", ἄλλοι δὲ „ἑκάστην".* A[t]. *οὕτως δὲ „ἀν' ἑκάστας" δεῖ γράφειν· οὐδέποτε γὰρ ἑνικῶς Ὅμηρος „πύλην" φησίν, ἀλλὰ „πύλας".* Ariston.

394 *Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός*: *Ἀρίσταρχος „γυναῖκά γε μάσσεται".* A[t]. Vgl. Lobeck Rhem. p. 10. Einl. S. 121.

397 *τάων ἥν κ' ἐθέλοιμι, φίλην ποιήσομ' ἄκοιτιν*: *Ἀρίσταρχος „ἐθέλωμι".* A[t]. Vgl. zu Vs. 112.

ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
399 *γήμαντι μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν*:
οὕτως Ἀρίσταρχος κατὰ δοτικήν [d. i. *γήμαντι*], *ἄλλοι δὲ „γήμαντα".* A[t].

401 *οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ' ὅσα φασίν*: *ἐνίους φησὶν ὁ Ἀρίσταρχος γράφειν „ἐμῆς ψυχῆς"· οὐκ εὖ.* A[t]. (*ὅτι τινὲς γράφουσιν „οὐ γὰρ ἐμῆς ψυχῆς" . . . ἄμεινον οὖν „ἐμοί" γράφειν.* Ariston.

404 *οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει,*
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσῃ:

---

1 *Ἀρίσταρχος* [*δὲ* fügen L*V zu] *„καὶ ἥλασεν* [*ἦλ.* L*V] *ἔκτοθι* [*ἕκτοθι* V, *ἐκτόθι* L*] *τάφρον".* A[t]L*V. *ἐν τῷ περὶ Ἰλ. καὶ Ὀδ.*] *Der Titel . . . ist räthselhaft und vielleicht aus einer verstümmelten Notiz entnommen; man müsste denn an eine litterarische Darstellung oder Einleitung denken, worin unter anderen die Bemerkung über Homer's Zeit stehen konnte.* Bernhardy Griech. Litt.[3] II 1 S. 195. Vgl. Lehrs Arist.[2] 21. 2 *Ἀρίσταρχος „περὶ δὲ σκόλοπας".* L*V. 8 *ῇ*] *ἡ* A[t]. 9 *εἰσιν* V. *ἀν ἑκάστην* V. 10 *οὕτω γὰρ πληθυντικῶς, καὶ οὐχὶ „ἑκάστην" ἑνικῶς, πολλοὶ γράφουσι τῶν παλαιῶν, παρασημειούμενοι ὡς οὐδέποτε „πύλην" ἑνικῶς λέγει ὁ ποιητής, ἀλλὰ „πύλας".* Eust. 758, 10. 11 *Ὅμηρος ἑνικῶς* V. 14 *τὸ δὲ „γαμέσσεται"* [*γαμεύσεται* V] *πᾶσαι εἶχον „μάσσεται", ἀντὶ τοῦ ζητήσει.* L*V: s. Einl. § 37. 17 *ἐθέλωμαι* A[t], corr. Heyne V p. 615. 20 *δοτικῆς* [*-κῶς?*] *δὲ τὸ „γήμαντι".* BL. *γήμαν* A[t].

*πρὸς τοὺς γλωσσογράφους, „ἀφήτορος“ τοῦ στροφέως ἀποδιδόντας. καὶ Ζηνόδοτος δὲ οὕτως ἐκδέδεκται· τὸν γὰρ ἑξῆς μετέγραφε „νηοῦ Ἀπόλλωνος“. Ariston. γράφει Ζηνόδοτος „νηοῦ Ἀπόλλωνος“. A[t].

416 *ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη:* *ἀθετεῖται. Ariston. οὐδὲ καρὰ Ζηνοδότῳ ἐφέρετο. A[t]V.

446 *γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα:* οὕτως διὰ τοῦ ω καὶ ο αἱ Ἀριστάρχου. A[t]. Andere ἡβώωντα.

447 *οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα:* *Ζηνόδοτος „τοῖον ὅτε πρῶτον“. Ariston.

452 *παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα:* *τινὲς „γέροντι“ γράφουσιν, ἵνα μισηθῇ τῷ γέροντι. L*V.

455 *μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱόν:* *τινὲς γράφουσιν „ἐμοῖσιν“. Ariston.

οὕτως διὰ τοῦ ε „ἐφέσσεσθαι“. A[t]. Andere ἐφέσσασθαι.

457 *Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια:* †„ἐπαινὴ“ δὲ κατ' ἀντίφρασιν, ὡς τὸ „νῆ' ὀλίγην αἰνεῖν“ (Hesiod WT. 643). οἱ δὲ γράφουσι „καὶ ἐπ' αὐτῷ Περσεφόνεια“. οἱ δὲ ἐν πλεονασμῷ τὴν ἐπί. L*V. Vgl. Buttmann Lexil. II S. 116.

458 *τὸν μὲν ἐγὼ βούλευσα κατακτάμεν ὀξέι χαλκῷ·*
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ' ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ' ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην:

†ὁ μὲν οὖν Ἀρίσταρχος ἐξεῖλε ταῦτα τὰ ἔπη φοβηθείς. Plutarch πῶς δεῖ τ. νέον π. ἀ. p. 26[f]. *Revocarunt Barnesius et Berglerus.* Bekker Il. p. 465. *Primus restituit F. A. Wolfius, v. Prolegom. p. 38. 262. praefat. ad Iliad. p. 86. Lehrs. Aristarch. p. 355.* Friedländer Ariston. p. 164. Vgl. Einl. S. 73.

464 *ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες*
αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι:

Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητα διὰ τῆς ἱπποδρομίας φησὶ γεγραμμένον „ἀντιόωντες“ μεταθεῖναι τὸν Ἀρίσταρχον „ἀμφὶς ἐόντες“. A. In der *ἱπποδρομία*, d. h. zu Ψ 330 *ἐν ξυνοχῇσιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς*, oder zu 393 *αἱ δέ*

3 Ζην. νήου A[t]. 17 κατ'] κατὰ V. 18 γράφουσι] γρ' in Ras. V. 32 Διονύσιός φησιν „ἀντιόωντες“ [diese drei Worte auch L*] εἶναι· μεταθεῖναι τὸν Ἀρίσταρχον „ἀμφὶς ἐόντες“. V. τῷ] τῆι und darüber ῶι A. 33 Ἀρίσταρχον] ἀρ͞ι͞χ A.

οἱ ἵπποι ἀμφὶς ὁδοῦ δραμέτην, nicht, wie Bekker, Dindorf u. A. glaubten, zu Ψ 643 νῦν αὖτε νεώτεροι ἀντιοώντων ἔργων τοιούτων: s. Progr. Acad. Alb. Regim. 1868 I p. 5. Jetzt sehe ich, dass dies auch Lehrs' Meinung war.

472 πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς: διὰ τῆς ἐν προθέσεως „ἐν αἰθούσῃ" αἱ Ἀριστάρχου. συνᾴδει καὶ τὸ ἑξῆς „ἄλλο δ' ἐνὶ προδόμῳ". A. *Aristonicus ad 473 ὑπὸ ante oculos habet.* Lehrs: s. Einl. § 18.

488 πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι καθίσσας: οὕτως διὰ τοῦ ε „γούνεσσι." A[t]. ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ ἄλφα. A[t] (beide links vom Text, aber durch das Schlusszeichen:— getrennt: s. Einl. S. 145 Anm. 166).

492 ὣς ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα: Ἀρίσταρχος „πολλὰ πάθον καὶ πολλὰ μόγησα". A[t].

506 πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν: *Ζηνόδοτος γράφει „φθανέει". Ariston. Vgl. zu Φ 262.

509 τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο: Ἀρίσταρχος „εὐχομένοιο". A[t]. Vgl. Friedländer Ariston. p. 4.

537 ἢ λάθετ' ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ: *Ζηνόδοτος γράφει „ἐκλάθετ' οὐδ' ἐνόησεν". Ariston.

540 ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν: Ἀμμώνιος ἐν τῷ περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων ἐξ Ὁμήρου διὰ τοῦ ξ προφέρεται „ἔρεξεν". A. — Cod. διὰ τοῦ ζ, aber nachher ἔρεξεν; ich bin mit Villoison den Handschriften L*V gefolgt (Ἀμμώνιος „ἔρεξεν"), während Bekker, Dindorf u. A. διὰ τοῦ ζ beibehielten und demgemäss ἔρεζεν (resp. ἔρρεζεν) herstellten. Ob die Form doppeltes ρ gehabt, ist auch fraglich.

551 τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδὲ δύναντο: ἐν τῇ Ἀριστοφάνους „οὐδ' ἐθέλεσκον"· καὶ ἔστιν Ὁμηρικόν· „οὐδ' ἔθελε προρέειν" [Φ 366]. A.

μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα

564 κλαῖ', ὅτε μιν ἑκάεργος ἀφήρπασε Φοῖβος Ἀπόλλων: οὕτως Ζηνόδοτος χρονικῶς [d. i. ὅτε]. A[t]. Ἀρίσταρχος „κλαῖε[ν], ὅ μιν", ὅτι αὐτήν. A[t], jenes rechts vom Text (halb A[i]), dieses links.

6 αἰθούσσῃ A. 16 γράφει ὅτι φθ. A[t], ὅτι strich Vill. 28 οὐδὲ δύναντο so AL*V. 29 ὡς τὸ [καὶ st. τὸ V] „οὐδέποτε Τρῶες" [E 789]. Ἀριστοφάνης δὲ „οὐδ' ἐθέλεσκον", Ὁμηρικόν [-ρική V]. L*V. 32 κλαῖ' und darüber ε A im Text. 33 οὕτως ὁ [ὁ fehlt V] Ζηνόδοτος, Ἀρίσταρχος δὲ „κλαῖεν, ὅ μιν". L*V.

574 *πύργων βαλλομένων. τὸν δὲ λίσσοντο γέροντες*: *οὕτως Ἀρίσταρχος „δὲ λίσσοντο“ δι' ἑνὸς λ̄.* A[t]. — Cod. *ἐλίσσοντο*, Lehrs corr. *δὲ λίσσοντο*; dasselbe stellten Heyne V p. 662 und Schmidt Did. p. 138 und Philol. IX 429 stillschweigend her. Übrigens deutet *δι' ἑνὸς λ̄* an, dass Einige *δ' ἐλλίσσοντο* oder *δὲλλίσσοντο* lasen. Vgl. zu *A* 374 und *K* 258.

580 *ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι*: *διὰ τοῦ σ̄ „ψιλῆς“ γῆς. οὕτως αἱ Ἀριστάρχου. (δῆλον δὲ ὅτι ἐλλείπει ἡ εἴς, ἵν' ᾖ εἰς ἄροσιν.)* A. Den letzten Satz dem Didymos beizulegen, trug Lehrs mit Recht Bedenken; Schmidt desgleichen.

584 *πολλὰ δὲ τόνδε κασίγνηται καὶ πότνια μήτηρ*
ἐλλίσσονθ'· ὁ δὲ μᾶλλον ἀναίνετο —:
κατὰ τὸ θηλυκὸν „κασίγνηται“ αἱ Ἀριστάρχου. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ō· κατὰ γὰρ Ὅμηρον πλείους εἰσὶν ἀδελφοὶ τῷ Μελεάγρῳ·

„οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔη[ν], θάνε δὲ ξανθὸς Μελέαγρος“

[*B* 641 f.]. *καὶ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ τὰς ἀδελφὰς ἀκουστέον Γόργην καὶ Δηιάνειραν.* A.

594 *τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας*: *Ζηνόδοτος γράφει „τέκνα δὲ δήιοι ἄγουσι“.* Ariston. (Cod. *δήϊοι*, Bekker Il. p. 467 *δῇοι*: s. Heyne V p. 666.)

602 *νηυσὶν καιομένῃσιν ἀμυνέμεν· ἀλλ' ἐπὶ δώροις*
ἔρχεο —:
Ἀρίσταρχος „ἐπὶ δώρων“, ὅ ἐστι μετὰ δώρων. A[t]. Vgl. zu *A* 38 und Friedländer Ariston. p. 28.

8 [*τὸ „ψιλὴν“* L, ohne Lemma] *διὰ τοῦ ῑ* [*ῡ* corr. Lehrs], *ψιλὴν γῆν* [*ἤτοι γυμνὴν φυτῶν* st. *ψιλὴν γ.* BL]. *λείπει δὲ ἡ εἴς, ἵν ᾖ* [beides fehlt V; *ἥμισυ καὶ* fügt B zu] *ψιλὴν* [fehlt V] *εἰς ἄροσιν.* BLV. *„ψιλὴν“ δὲ ἀντὶ τοῦ ἄδενδρον.* V. 9 *εἴς*] *ησ* A. 14 *οὕτως „κασίγνηται“ θηλυκῶς. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ō.* A[t]; *οὕτως Ἀρίσταρχος. ἔχει δὲ λόγον καὶ τὸ „κασίγνητοι“· πλείους γάρ εἰσιν αὐτῷ ἀδελφοὶ καθ' Ὅμηρον· „οἵ τ'* [so] *ἔτ' Οἰνῆος μεγαλήτορος* [aus *-τοιρες* corr.] *υἱέες ἦσαν“. δύναται* [l. *-νανται*] *δὲ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ αἱ θήλειαι ἀκούεσθαι, Ὀργὴ καὶ Δηιάνειρα, Πολυξὼ καὶ Αὐτονόη.* V; *γράφεται μὲν „κασίγνηται“ κατὰ Ἀρίσταρχον. δύναται δὲ μᾶλλον „κασίγνητοι“· πλείους γὰρ αὐτῷ οἱ ἀδελφοὶ ἦσαν· „οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος“* [*υἱέες ἦσαν* fügt L zu]. *δύνανται δὲ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ αἱ θήλειαι ἀκούεσθαι.* BL. 18 *οὐ δὰρ* A. 20 *γᾶρ γῆν* A. 22 *ἔνιοι γρ' „τέκνα δὲ δόϊοι* [so] *ἄγουσι“.* V.

605 *οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι, πόλεμόν περ ἀλαλκών*: *(*τιμηθήσῃ ἢ τίμιος ἔσῃ.*) *τινὲς τὸ „τιμῇς“* [so] *διὰ τοῦ ῑ γράφουσιν· ἀπὸ γὰρ τοῦ τιμήεις... οὐκ ἐπείσθη δὲ ἡ παράδοσις· Ἀρίσταρχος γὰρ ἄνευ τοῦ ῑ. οὐχ ὑγιῶς δὲ γενικὴν ἐκδέχεται, λειπούσης φράσεως· τιμῆς γάρ, φησιν, ἄξιος ἔσῃ. ὁ δὲ Χαῖρις βοηθῶν αὐτῷ φησιν, ὅτι ἐπιφέρει „οὔ τί με ταύτης χρεὼ τιμῆς“* [608]. Herodian. *Herodianum voluisse τιμῆς sine ῑ subscripto, sed pro adiectivo accepisse ex τιμήεις, patet ex M 201.* Lehrs. Dass Aristarch *τιμῆς*, Andere *τιμῇς* lasen, wird auch von Aristonikos bezeugt.

612 *μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων*: *Ζηνόδοτος γράφει „ὀδυρόμενος, κινυρίζων“.* Ariston. *Ἀρίσταρχος δὲ „μή μοι σύγχει θυμὸν ἐνὶ στήθεσσι*[*ν ἀχεύων*]“. A.

632 *νηλής. καὶ μέν τίς τε κασιγνήτοιο φονῆος*: *Ἀρίσταρχος διὰ τοῦ γέ „καὶ μέν τίς γε“.* A[t].

633 *ποινὴν ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος*: *διὰ τοῦ η αἱ Ἀριστάρχου* [d. i. *τεθνηῶτος*]. A[t].

639 *ἄλλά τε πόλλ' ἐπὶ τῇσι. σὺ δ' ἵλαον ἔνθεο θυμόν*: *οὕτως „ἐπὶ τῇσι“ ἐν ἁπάσαις, ἐπὶ ταῖς Λεσβίσι.* A[t]: nicht *τοῖσι.*

ὑπωρόφιοι δέ τοί εἰμεν

641 *πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων*: *Ζηνόδοτος γράφει „ἀθρόοι ἐκ Δαναῶν“.* Ariston.

645 *πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι*: *ἔν τισι τῶν ὑπομνημάτων διῃρημένως „ἐείσαο“.* A[t].

653 *κτείνοντ' Ἀργείους, κατά τε σμύξαι πυρὶ νῆας*: *οὕτως „σμύξαι“ Ἀρίσταρχος· οἶδε* [*δὲ*] *καὶ τὴν „φλέξαι“ γραφήν.* A[t]. (*ὅτι γρ.* [letzteres übergeschrieben] *καὶ „κατά τε φλέξαι“.* A[t]: s. Einl. S. 149 Anm. 173.) Vgl. zu X 411.

657 *σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύς*: *ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου „λείψαντες“, καὶ ἐν πολλαῖς τῶν ἀρχαίων.* A[t]L*V.

660 *αἱ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε*: *Ζηνόδοτος „ἐγκονέουσαι“.* L*V.

---

2 Vgl. Et. Flor. bei Miller Mélanges de litt. gr. p. 282. 11 *ὀδυρόμενος* AV. 12 *Ἀρίσταρχος „ἐνὶ στήθεσσιν ἀχεύων“.* A[t]; *„ἐν στήθεσσιν* [*στήθεσιν* V] *ἀχεύων“· οὕτως ἐγράφη* [*ἡ γραφή* V], *οὐχὶ „ὀδυρόμενος“*· L*V. 14 *φόνηος* A im Text. 16 *τεθνειῶτος* und darüber *ηι* A im Text. 26 *σμύξαι Ἀρίσταρχος οἶδε καὶ* A[t], *σμύξαι. Ἀρίσταρχος οἶδε καὶ* Vill. Bekk., corr. Lehrs. 30 *καὶ ἐν π. τ. ἀ.* fehlt V. 32 *ἐκέλευε* V.

664 *τῷ δ' ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε:* *Ζηνόδοτος γράφει „τῷ δὲ γυνὴ παρέλεκτο Κάειρ', ἣν Λεσβόθεν ἦγε". Ariston.

681 *ὅπως κεν νῆάς τε σόῃς καὶ λαὸν Ἀχαιῶν:* ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου διὰ τοῦ ᾱ „σαῷς", τάχα παρὰ τὸ „σαωσέμεν" [230] καὶ „ἠὲ σαωθῆναι" [*O* 503]. χρῆται δὲ καὶ ἐκείνῳ· „σόον δ' ἀνένευσεν" [*Π* 252]. διχῶς οὖν. A. '*σαῷς et σοῷς Aristarcheum*' Lehrs Her. p. 252. Vgl. Einl. S. 36. Did. *A* 117. *Π* 252 und Herodian *I* 393.

684 *καὶ δ' ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσεσθαι:* „παραμυθήσεσθαι" δια τοῦ ε̄. V. Andere παραμυθήσασθαι.

688 *ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,*
Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣς γὰρ ἀνώγει,
ὄφρά οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔ τί μιν ἄξει:
*ἀθετοῦνται στίχοι πέντε ἕως τοῦ „αὔριον, ἢν ἐθέλῃσιν". Ariston. τούτους δὲ τοὺς στίχους [καὶ] Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος τὸν „αὔριον" μόνον. AV. Vgl. Nikanor z. St.

694 *μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν:* *[ὁ ἀστερίσκος καὶ ὁ ὀβελὸς] ὅτι ἐξ ἄλλων τόπων ἐστὶν ὁ στίχος· νῦν γὰρ οὐχ ἁρμόζει. Aristonikos; s. denselben zu *H* 404. (γράφεται καὶ „φρασσάμενοι".) Ζηνόδοτος δὲ τον στίχον οὐκ ἔγραφεν, Ἀριστοφάνης δὲ ἠθέτει. A[t]. Vgl. Einl. S. 170 f.

698 *μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα:* (διὰ τοῦ δε.) οὕτως Ἀρίσταρχος „μηδ' ὄφελες". A[t].

699 *μυρία δῶρα διδούς· ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως:* *γράφεται καὶ „αὔτως"· τὸ δὲ „ἄλλως" ἀντὶ τοῦ φύσει. A[t]L*V.

---

5 Ἀρίσταρχος „σόως" καὶ „σάωις". so A[t]. σάωις A. 6 δὲ zweimal A. 7 ἐκεῖνο σῶον A. 18 δὲ τοὺς στίχους fehlt V. 19 μόνον] folgt: καὶ τὸ „μῦθον ἀγασσάμενοι" Ζηνόδοτος μὲν οὐ γράφει, Ἀρίσταρχος [!] δὲ ἀθετεῖ. A: s. zu Vs. 694 u. Einl. S. 171. τούτους Ἀριστοφάνης ἠθέτει. Ζηνόδοτος τὸν στίχον οὐ γράφει, Ἀρίσταρχος δὲ ἀθετεῖ. L* (hat das ohnehin fehlerhafte Schol. A durch Weglassung von Ζηνόδοτος τὸν „αὔριον" μόνον. καὶ τὸ „μῦθον ἀγασσάμενοι" noch mehr verdorben). 23 Ζηνόδοτος τὸν στίχον οὐ γράφει, Ἀρίσταρχος δὲ ἀθετεῖ. V. 26 διὰ τοῦ δε [d. i. δὲ; Bekker δ̄: s. aber zu *A* 169] ist später hinzugekommen; ursprünglich begann das Schol. mit οὕτως Ἀρ.: s. Einl. § 32 S. 108. 28 αὔτως A[t], αὐτός L*V. τὸ δὲ bis φύσει fehlt A[t].

700 *νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας*: *ἔν τισι τῶν ὑπομνημάτων διὰ τοῦ ᾱ „ἀνῆκας“· καὶ ἔστιν Ὁμηρική πως ἡ γραφή· „σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε“* [*E* 405]. A. — Cod. *συ δ' επι τούτων ἀνῆκε*, woraus Bekker und Dindorf *ἄφρονα τοῦτον ἀνέντες* [*E* 761] machten (Bekker *ἀνῆκας*), offenbar veranlasst durch L*V *τινὲς „ἀνῆκας“· καὶ ἔστιν* [*ὅ ἐστιν* L*] *Ὁμήρου· „ἄφρονα τοῦτον ἀνῆκας“*.

ΙΛΙΑΔΟΣ Κ.

1 *ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν*: *παραιτητέον τοὺς γράφοντας, ὧν ἐστι καὶ Ζηνόδοτος, „ὦλλοι μέν“*. Ariston. Vgl. zu *B* 1.

10 *νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός*: *Ζηνόδοτος γράφει „φοβέοντο“*. Aristonikos (s. dens. zu Vs. 25).

13 *αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων*: †*τινὲς „αὐλῶν συρίγγων“* [ohne *τ'*], *ἵν' ᾖ εἶδος αὐλοῦ ἡ σύριγξ. ἀλλὰ καὶ ἐν τῇ ὁπλοποιΐᾳ φησὶν „αὐλοὶ σύριγγές τε“* [*Il.* 18,495? Bkk.]. V.

32 *βῆ δ' ἴμεν ἀνστήσων ὃν ἀδελφεόν* —: *οὕτως Ἀρίσταρχος διὰ τοῦ ν̄ „ἀνστήσων“*. A[t]. Vgl. zu *B* 12.

τίφθ' οὕτως, ἠθεῖε, κορύσσεαι; ἦ τιν' ἑταίρων

38 *ὀτρύνεις Τρώεσσιν ἐπίσκοπον* —: *διῃρημένως Ἀρίσταρχος „ὀτρυνέεις“*. A[t].

41 *νύκτα δι' ἀμβροσίην. μάλα τις θρασυκάρδιος ἔσται*: *Δημήτριος ὁ Ἰξίων „ἐστί“ γράφει*. A[t]V. In A[t] (links vom Text) fehlt *ἐστί γράφει*, in V *Δημήτριος*. Rechts vom Text hat A[t] *γρ. ἔστιν*; dies ist, wie V lehrt, die (corrumpirte) Lesart des Demetrios. Der Schreiber A[t] hat das Scholion in zwei Theile zerrissen: s. Einl. § 47 Anm. 166.

46 *Ἑκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆχ' ἱεροῖσιν*: *ἔν τισι τῶν ὑπομνημάτων „εἶχ' ἱεροῖσιν“* A[t]V.

48 *ἄνδρ' ἕνα τοσσάδε μέρμερ' ἐπ' ἤματι μητίσασθαι*:

---

10 *ὦλλοι* A. 18 *διὰ τοῦ ν̄ δὲ τὸ „ἀνστήσων“*. V. 21 *ὅτι ἀντὶ τοῦ ὀτρύνων* [!] *διῃρημένως αἱ Ἀριστάρχου τὸ „ὀτρύνεις“*. so A: s. Friedländer Aristou. p. 14; *αἱ Ἀριστάρχου „ὀτρυνέεις“ διῃρημένως*. V. 23 *Δημήτριος ὁ Ἰξίων* und gleich darunter *ἐν ἄλλῳ θρασυκαρ*(δ) A[t]; die letztere (offenbar unvollständige) Angabe kann bei der Reconstruction des obigen Scholions gar nicht in Frage kommen (La Roche und Dindorf verbanden beide Bemerkungen mit einander! s. Einl. S. 104), ebenso wenig die Interlinearvariante *ειη* (über *ἔσται*), aus der bei Vill. und Bekker *καὶ ἐν ἄλλῳ εἴη* geworden ist (vgl. *N* 343). 29 *εἶχ'*] *ἐπὶ φρένας εἶχ'* V. *ἱεροῖσι* A[t]. 30 *μέρμερα ἐπήματι* A.

τὸ (δὲ) „ἐπ' ἤματι“ Ἀρίσταρχος διὰ τοῦ ν „ἐν ἤματι“, ὁμοίως τῷ „μηνὶ δ' ἐν οὔλῳ“ [ω 118]. A. *Fraglich ob Did., und ob nicht bloss bis* ὁμοίως. Lehrs. (ὁμοίως τῷ steht Did. *A* 304. 336. *Τ* 114.)

51 *ἔργα δ' ἔρεξ' ὅσα φημὶ μελησέμεν Ἀργείοισι*
δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μήσατ' Ἀχαιούς:

*ἀθετοῦνται στίχοι β'. Ariston. καὶ Ἀριστοφάνης προηθέτει. A.

53 *ἀλλ' ἴθι νῦν, Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον:*

*ὁ μὲν Δίδυμος τὴν Ἀριστάρχειον γραφὴν λέγει „Αἴαντε“ δυϊκῶς, ὁ δὲ Τήλεφος λέγει κακῶς εἰρηκέναι τὸν Δίδυμον· οὐ γὰρ ἐπ' ἀμφοτέρους τοὺς Αἴαντας ὁ Μενέλαος πέμπεται. A. Die Bemerkung des Didymos selbst ist nicht mehr vorhanden (wenigstens kann ich die Notizen Ἀρίσταρχος δυϊκῶς αἰαν̄ A^t und αἴαντα [so] δυϊκῶς V nur für Excerpte aus dem obigen Scholion gelten lassen), und man darf Bedenken tragen, diesem Referat unbedingt zu vertrauen, zumal die Begründung mit οὐ γὰρ geradezu thöricht ist. Sollte Aristonikos, dem offenbar *Αἴαντα* vorlag, hier wieder nicht gewusst haben, was Aristarch bevorzugte? Vgl. übrigens zu *O* 301.

54 *ῥίμφα θέων ἐπὶ νῆας· ἐγὼ δ' ἐπὶ Νέστορα δῖον —:*

Ἀρίσταρχος „παρὰ νῆας.“ A^t.

79 *λαὸν ἄγων, ἐπεὶ οὐ μὲν ἐπέτραπε γήραϊ λυγρῷ:*

Ἀρίσταρχος „ἐπέτρεπε“. A^t.

84 *ἠέ τιν' οὐρήων διζήμενος ἤ τιν' ἑταίρων:*

*ἀθετεῖται. Ariston.

98 *μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ*
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται:

*Ζηνόδοτος μὴ νοήσας τὸ σημαινόμενον γράφει „ἀδηκότες ἡδέι ὕπνῳ κοιμήσωνται“. Ariston.

115 *νεικέσω, εἴ πέρ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω:*

οὕτως αἱ Ἀριστάρχου [d. i. εἴ πέρ]· τινὲς δὲ „εἰ καί μοι.“ V.

124 *νῦν δ' ἐμέο πρότερος μάλ' ἐπέγρετο καί μοι ἐπέστη:*

---

1 Ἀρίσταρχος „ἐν ἤματι“. A^t. 2 μῆνι A. 7 ἀθετεῖ ὁ Ἀριστοφάνης. V. 9 ἀρισταρχείαν A: es heisst sonst stets ἡ Ἀριστάρχειος γραφή (*B* 53. 196. 435. *Γ* 18. *Z* 76. *Θ* 513), ἡ Ἀριστάρχειος ἀνάγνωσις (*Π* 31. *Τ* 261), ἡ Ἀριστάρχειος διόρθωσις (*K* 397 u. ö.). 22 ἐπέτραπε A im Text (aber α auf Ras.), ἐπέτρεπε V. 23 „ἐπέτρεπε“ διὰ τοῦ ε. V. 31 ἀρισταρ̊ (χ) V, Ἀριστάρχειοι Bekker.

ὁ Ἰξίων „μέγ' ἐπέγρετο"· καὶ μήποτε ἡ Ἀριστάρχειος οὕτως εἶχεν. A. Vgl. Lehrs Arist.² 26.

127 *ἐν φυλάκεσσ'· ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι*: *Ζηνόδοτος γράφει „ἵνα γάρ μιν". Ariston. Vgl. zu *A* 73. διὰ τοῦ θ αἱ Ἀριστάρχου „ἠγερέθεσθαι". A^t.

129 *οὕτως οὔ τίς οἱ νεμεσήσεται οὐδ' ἀπιθήσει*: ἔξω τοῦ τ „οὔ τίς οἱ". A^t. Andere οὔ τίς τοι.

130 *Ἀργείων, ὅτε κέν τιν' ἐποτρύνῃ καὶ ἀνώγῃ*: χωρὶς τοῦ σ „ἐποτρύνῃ καὶ ἀνώγῃ". A^t. Für ἐποτρύνει καὶ ἀνώγει habe ich mit Spitzner den Conjunctiv wiederhergestellt: s. V und zu *Γ* 436. — Andere müssen ἐποτρύνῃς καὶ ἀνώγῃς gehabt haben.

146 *ἀλλ' ἕπευ, ὄφρα καὶ ἄλλον ἐγείρομεν, ὅν τ' ἐπέοικε*: Ἀρίσταρχος χωρὶς τοῦ υ „ἀλλ' ἕπε', ὄφρα". A^t.

ἔγχεα δέ σφιν

153 *ὄρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο, τῆλε δὲ χαλκὸς* —: ἐν τῇ Ἀριστοφάνους „σαυρωτῆρας" πληθυντικῶς. A.

159 *ὄρσεο, Τυδέος υἱέ· τί πάννυχον ὕπνον ἀωτεῖς*: διχῶς Ἀρίσταρχος, „ἔγρεο" καὶ „ὄρσεο". A^t.

161 *εἵαται ἄγχι νεῶν, ὀλίγος δ' ἔτι χῶρος ἐρύκει*: διὰ τοῦ ε „ὀλίγος δέ τε" αἱ Ἀριστάρχειοι. *γράφεται δὲ καὶ „ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει". A. Die letztere Variante (γράφεται κτέ.) hat Lehrs von dem Schol. des Didymos abgetrennt: s. Einl. § 48.

169 *ναὶ δὴ ταῦτά γε πάντα, φίλος, κατὰ μοῖραν ἔειπες*: Ἀριστοφάνης „φίλος", [οὐ] „τέκος". A^t. Die Negation habe ich eingeschaltet (sie ist wie andere kleine Wörter im Ven. A auch sonst manchmal ausgefallen: s. z. B. Dind. I p. 223, 28. 225, 16. 276, 29. 280, 1. 353, 9. 415, 8. 426, 7. II 169, 7u. ö.). Wegen der Form des Scholions vgl. zu *A* 91. 117. 258. 298. 350 u. s. w. Bekker und Dindorf strichen φίλος. (Von dem

---

5 διὰ τοῦ ε τὴν „ἐγερέεσθαι". so V. ἠγερεσθαι so A^t, corr. Heyne VI p. 28. 7 Bekker Il. p. 469: *videntur fuisse qui οὔ τίς τοι (vel σοι) et ἐποτρύνῃς καὶ ἀνώγῃς legerent.* 9 οὕτως χωρὶς τοῦ σ. V (Lemma ἀποτρύνῃ). 13 ἕπεσ' V. 14 ἄνευ τοῦ υ ἕπεσ. so V. 18 ὄρσεο A (im Text), ἔγρεο V: 19 γρ' καὶ „ὄρσεο" διχῶς αἱ Ἀριστάρχου. V. 20 εἵαται A (im Text) V. δέ τι χόρος A (im Lemma), δέ τε χῶρος V. 21 Ἀρίσταρχος „ὀλίγος δέ τε". γρ. δὲ καὶ „ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει". A^t; οὕτω διὰ τοῦ τε γραπτέον, καὶ „ὀλίγος δὲ ἄπο [so] χῶρος ἐέργει". V.

καὶ hinter *φίλος*, welches Dindorf hier und Bd. II p. 388 erwähnt, habe ich in der Handschrift keine Spur bemerkt.)

176 *ἄνστησον, σὺ γάρ ἐσσι νεώτερος, εἴ μ' ἐλεαίρεις*: *οὕτως διὰ τοῦ ν̄ „ἄνστησον" αἱ Ἀριστάρχου*. A[1]. Vgl. zu *B* 12.

216 *θῆλυν ὑπόρρηνον· τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον*: *„ὑπόρρηνον" (δὲ) γράφει* ['*Aristarchus*' Lehrs] *διὰ τοῦ ἑτέρου ῥ*. V: also *ὑπόρηνον* (s. zu *I* 154).

224 *σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν*: **ἔνιοι δὲ μὴ νοήσαντες τὸ ν̄ προστιθέασι* [d. i. *ἐρχομένων*], *κακῶς*. Ariston.

225 *ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴ πέρ τε νοήσῃ*: *οὕτως Ἀρίσταρχος „μοῦνος δ' εἴ πέρ τε", καὶ οἱ ἀπὸ τῆς σχολῆς*. A. Andere *πέρ τι*. — Cod. *ὅτι Ἀρ.*, wozu Lehrs bemerkt: *Haec sic scribenda: ἡ διπλῆ ὅτι περισσὸς ὁ τέ. Et haec Aristonici fuerunt. Dein Didymi haec: Ἀρίσταρχος — σχολῆς. v. Arist. p. 17.* Da indessen im Ven. A das Scholion des Aristonikos dem des Didymos nachfolgt (*καὶ ὅτι περισσὸς ὁ τέ*), so habe ich es vorgezogen, mit Cobet *ὅτι* in *οὕτως* zu verändern (s. zu *B* 284). Ferner verbesserte Lehrs a. a. O., dem wie ich die Meisten gefolgt sind, aus Aristonikos *τε* für *τι*; und allerdings hat dies hier wohl mehr für sich als die Annahme eines *σχολικὸν ἀγνόημα* (s. Einl. § 18).

240 *ὣς ἔφατ', ἔδδεισεν δὲ περὶ ξανθῷ Μενελάῳ*: **ἀθετεῖται*. Ariston. *οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν*. A V.

252 *ἄστρα δὲ δὴ προβέβηκε, παρῴχηκεν δὲ πλέων νὺξ*
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται:
Ἀρίσταρχος „παρῴχωκεν". A[1]. †*διὰ τὸ πολυθρύλλητον ζήτημα καὶ τὰς γεγονυίας ἀποδόσεις*. [Ariston.] *γράφεται καὶ οὕτως*
„ἄστρα δὲ δὴ προβέβηκε, παροίχωκεν δὲ πλέων νὺξ
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται".

---

4 *τὸ δὲ „ἄνστησον" διὰ τοῦ ν̄*. V. 11 *ὅπως κ. ἔνι* A. *εἴ πέρ τι* V. 12 *„εἴ πέρ τι νοήσῃ"· οὕτως καὶ ὁ* [so] *ἀπὸ τῆς σχολῆς*. V. 22 *ἔδδεισε δὲ* V. 23 *δὲ* fehlt V. 24 *πλέω* A (im Text). 26 *οὕτω διὰ τοῦ ω, κατὰ τροπὴν τοῦ η εἰς ω*. V (mit dem falschen Lemma *πλέω νύξ*; das Schol. bezieht sich auf *παρῴχωκεν*, nicht, wie Spitzner und Lobeck Pathol. elem. II 281 glaubten, auf *πλέω*: s. unten zu S. 315, 25 u. Einl. S. 136). 28 *προβέβηκε, τῶν δύο μοιράων, παροίχωκεν δὲ πλέων* [so, nicht *πλέω*] *νύξ, τριτάτη κτέ*. A, corr. Cobet. Dergleichen Wortumstellungen sind in A nichts seltenes: s. Dind. I p. 67, 16. 78, 17. 89, 26. 142, 14. 166, 8. 178, 16. 186, 9. 193, 27. 205, 4. 209, 19. 227, 13. 234, 18 (l. 21). 252, 29. 305, 20. 317, 21. 369, 31. 376, 14. 378, 1. 411, 22. 417, 24. II 15, 24. 46, 24. 50, 12. 70, 6. 98, 18.

τριφύλακος γὰρ ἦν καθ' Ὅμηρον ἡ νύξ· καὶ ἐν ἄλλοις „ἔσσεται [ἢ] ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ“ [Φ 111]. οὕτως καὶ Δωρόθεος ἐν τριακοστῷ πρώτῳ τῆς Ἀττικῆς λέξεως ἀξιοῖ γράφειν, τὴν μὲν πρώτην διὰ τῆς οι διφθόγγου, τὴν δὲ δευτέραν διὰ τοῦ ω „παροίχωκεν“, ἀποτεινόμενος πολλὰ πρὸς Ἀριστόνικον καὶ Τρύφωνα ἄλλως γράφοντας, ἐπιδείξας τὸ οἴχωκεν Ἰακόν. οὕτως δὲ καὶ Ἀπολλώνιος ὁ τεχνικὸς οἶδε τὴν γραφήν. A. Lehrs hielt dieses Scholion ehemals für Herodianisch (Arist.[2] p. 5), kam aber später davon ab. Von Didymos kann es augenscheinlich auch nicht sein. Die Erwähnung der Form παροίχωκεν jedoch wird Didymos nicht haben umgehen können; aus dem οὕτως καὶ Δωρόθεος sowie aus anderen Indicien (bes. Ἰακόν) möchte man fast schliessen, dass dieselbe die von Aristarch bevorzugte war und die oben mitgetheilte Interlinearnotiz nur einen der gewöhnlichen Schreibfehler enthalte, παρῴιχωκεν st. παροίχωκεν (s. zu Α 686. Β 397). — Übrigens wird es mir schwer, daran zu glauben, dass der Scholiast zwei ganze Verse bloss wegen der einzigen Form παροίχωκεν ausgeschrieben haben sollte; den zweiten hatte er aller Wahrscheinlichkeit nach gar nicht in seiner Textvorlage. — Aus Porphyrios (ed. Schrader p. 147 ff.) lernen wir, abgesehen von παρῴχηκεν, unter Anderem die Varianten πλέω und τριτάτης kennen; über jene vergl. Lobeck Pathol. elem. II p. 281. Aristonikos, gegen den Dorotheos polemisirte, citirt zu Ι 71 παρῴχηκεν δὲ πλέω νύξ: s. dazu Lehrs bei Friedländer p. 156.

253 *ἀθετεῖται. Ariston. Ζηνόδοτος οὐδὲ ἔγραφεν· Ἀριστοφάνης ἠθέτει. A.

258 ταυρείην, ἄφαλόν τε καὶ ἄλλοφον, ἥ τε καταῖτυξ: Ἀρίσταρχος „ἄλοφον“. A[t]. Vgl. zu Ι 210. 299. 574. Ο 31.

291 ὥς νῦν μοι ἐθέλουσα παρίστασο καί με φύλασσε: οὕτως χωρὶς τοῦ σ „παρίσταο“ αἱ Ἀριστάρχου. Ζηνόδοτος „παρίσταο καὶ πόρε κῦδος“, χωρὶς δὲ τοῦ σ καὶ αὐτός. οὕτως δὲ καὶ αἱ πλείους εἶχον. A.

120, 25. 127, 15. 135, 24. 168, 27. 172, 24 u. ö. Vgl. zu Α 177. Ι 324. 2 ἠῶς A. δείλης A. 5 παροίχοκεν A. 25 οὐδὲ corr. Bekk. p. 830 st. δὲ: s. zu Vs. 169. Ἀριστοφάνης ἀθετεῖ. V (mit dem falschen Lemma ὣ εἰπόνθ', so). 30 οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ „παρίστασο“. A[t]; δὸς δὲ πάλιν ἐπὶ νῆας εὐκλεῖας ἀφικέσθαι. ὁ δὲ σπεῖό μοι [so: s. Vs. 281 und 285]. ὁ δὲ Ζηνόδοτος „παρίσταο“ γράφει ἄνευ τοῦ σ. V.

δώσω γὰρ δίφρον τε δύω τ' ἐριαύχενας ἵππους,

306 *οἵ κεν ἀριστεύωσι θοῇς ἐπὶ νηυσὶν Ἀχαιῶν:* *οὕτως Ἀρίσταρχος „οἵ κεν ἄριστοι ἔωσι“· ὁ δὲ Ζηνόδοτος „αὐτούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα“· Ἀριστοφάνης „καλούς, οἳ φορέουσι“* [vgl. Vs. 323]. A.

317 *αὐτὰρ ὃ μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν:* **Ζηνόδοτος γράφει „κασιγνήτοισι“.* Ariston.

321 *ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον:* *οὕτως „ἀνάσχεο“ διὰ τοῦ ō αἱ Ἀριστάρχου.* A[t]. Darnach scheint die entgegenstehende Lesart *ἀνάσχευ* gewesen zu sein; lieber dächte man freilich an *ἀνίσχεο* und corrigirte mit Cobet *διὰ τοῦ ᾰ.* (In den Miscell. crit. p. 383 ist Cobet hiervon zurückgekommen: *Aristarchus edidit ἀνάσχεο, non ἀνάσχεθε*, was wenig Wahrscheinlichkeit hat.) Vgl. zu *H* 110. *Ω* 518.

323 *δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα:* **γράφεται καὶ „ποδώκεα“ καὶ „ἀμύμονα“.* A[t]. Vgl. Einl. S. 150.

332 *ὣς φάτο καί ῥ' ἐπίορκον ἐπώμοσε, τὸν δ' ὀρόθυνεν:* *οὕτως (καὶ) διὰ τοῦ ε̄ τὸ „ἐπώμοσεν“ αἱ Ἀριστάρχου.* A und A[t]. Andere *ἀπώμοσε*: s. zu *ο* 437. (*I* 132.)

341 *οὗτός τοι, Διόμηδες, ἀπὸ στρατοῦ ἔρχεται ἀνήρ:* *Ἀρίσταρχος „οὗτός τις“. ὡμολόγουν καὶ αἱ πλείους.* A[t]. Vgl. zu Vs. 477.

343 *ἤ τινα συλήσων νεκύων κατατεθνειώτων:* *Ἀρίσταρχος „τεθνηώτων“.* A[t]. Vgl. zu Vs. 387. *H* 409.

346 *καρπαλίμως. εἰ δ' ἄμμε παραφθαίῃσι πόδεσσιν:* *οὕτως σχεδὸν αἱ πᾶσαι.* A[t]. (Vermuthlich *ἅπασαι*: s. zu *Α* 531.) Die Notiz ist von Bekker wohl richtig auf *παραφθαίῃσι* bezogen, wofür Andere *παραφθάνῃσι* (oder *παραφθήῃσι*?) lasen.

347 *αἰεί μιν ποτὶ νῆας ἀπὸ στρατόφι προτιειλεῖν:* *Ἀρίσταρχος „ἐπὶ νῆας“.* A[t].

---

3 *αἱ Ἀριστάρχου „ἄριστοι ἔωσι“· Ζηνόδοτος δὲ „αὐτούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα“. οἱ μὲν Ἕλληνες ἃ ἔχουσι διδόασιν, ὧν ὕπαρνον* [vgl. *K* 215], *ὁ δὲ Ἕκτωρ οὓς οὐκ ἔχει ἵππους. Ἀριστοφάνης γράφει „καλούς, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα“.* V. 9 *οὗτος* A[t]. 17 *ἔπι ὅρκον* A. 18 *οὕτως καὶ* A, *οὕτως* A[t]: vorher geht in A *ὡς ἐν τῇ συνηθείᾳ, οὕτως καὶ ἐνθάδε τὸ „ἐπίορκον“*, was aus Herodian geflossen sein wird. *καὶ* rührt von dem Schreiber her, der beide Scholien mit einander verknüpfte, wie *Α* 203. *ἐπῶμοσεν* so A (nicht A[t]). 21 *„οὗτος τίς“· οὕτως διὰ τοῦ τίς. τινὲς δὲ διὰ τοῦ τοι.* V. 30 *„ἐπὶ νῆας“, οὐ „ποτὶ νῆας“.* V.

349 *ὣς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην* —: οὕτως Ἀρίσταρχος. καὶ θαυμαστὸν οὐδέν, εἰ Ὀδυσσέως εἰπόντος μόνου συλλήβδην ἔφη „ὣς ἄρα φωνήσαντε“· σύνηθες γὰρ αὐτῷ τὸ τοιοῦτο. ἐν γοῦν τῇ παραποταμίῳ μάχῃ τοῦ Ποσειδῶνος εἰπόντος μόνου

„τοίω γάρ τοι νῶι θεῶν ἐπιταρρόθω εἰμέν,
Ζηνὸς ἐπαινήσαντος“,

[*Φ* 289 f.] ἐπιφέρει

„τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην“

[*Φ* 298]. ἐν μέντοι τῇ Ἀριστοφάνους καὶ ἄλλαις ἑτέρως ἐφέρετο·

„ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθος Διομήδης·
ἐλθόντες δ' ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεσσι
κλινθήτην“.

A. Vgl. Aristonikos ὅτι τοῦ Ὀδυσσέως εἰπόντος μόνου εἶπε(ν) συλληπτικῶς „ὣς ἄρα φωνήσαντε“. A[t].

354 *τὼ μὲν ἐπιδραμέτην, ὁ δ' ἄρ' ἔστη δοῦπον ἀκούσας*: Ἀρίσταρχος „ἐπεδραμέτην“. A[t]. *Der Homerische Brauch, hinter der Präposition das Augment festzuhalten, muss aber* [s. zu *E* 425. *N* 705. *Π* 379] *in den handschriftlichen Hülfsmitteln Aristarch's so constant gewesen sein, dass er sogar K 354* ἐπιδραμέτην *verwarf, wahrscheinlich als schlechter bezeugte Lesart, und* ἐπεδραμέτην *schrieb.* Schmidt Philol. IX 428. (Anders Dindorf, w. s.)

359 *φευγέμεναι· τοὶ δ' αἶψα διώκειν ὁρμήθησαν*: τὸ „ὡρμήθησαν“ Ἰακῶς. A[t]: also ὁρμήθησαν Aristarch. (Bekker conj. ὁρμήθησαν für ὡρμ., dazu Cobet οὕτως für τὸ, beides unnöthig: s. zu *A* 162. *B* 205. 682. 751. *Z* 155 und Einl. S. 117.)

362 *χῶρον ἀν' ὑλήενθ', ὁ δέ τε προθέῃσι μεμηκώς*: ὁ „τέ“ σύνδεσμος οὐκ ἦν ἐν τοῖς Ἀριστάρχου. A[t]. *Scripsisse igitur putandus erit* χῶρον ἀν' ὑλήεντα, ὃ δὲ πρ. Spitzner. Falls τοῖς richtig überliefert ist, wird man dazu wohl ὑπομνήμασι zu ergänzen haben, wie bei τοῖς Διογένους *Θ* 441 verglichen mit *Θ* 296 (s. zu *B* 192. *Γ* 57. *Δ* 345. *Z* 4. *Π* 365. *ε* 477); wenigstens nennt Didymos die Aristarchischen Ausgaben niemals τὰ Ἀριστάρχου oder τὰ Ἀριστάρχεια: s. Einl. § 4 S. 19.

24 *γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει*: *Ἀρίσταρχος „θυμόν", ἄλλοι δὲ „θυμός".* A^{t}. *ἔστι δὲ ο τῆς Ὁμηρικῆς φράσεως χαρακτήρ· „οἵ σ' ὠτειλὴν αἷμ' ἀπολιχμήσονται"* [*Φ* 122]. A^{t}. Statt *Ὁμηρικῆς* steht in A^{t} *αρισταρχ*, vgl. aber V *Ἀρίσταρχος „θυμόν", τινὲς δὲ „θυμός", ἀντὶ τοῦ ὀργή. ἀμείνων δὲ ἡ Ἀριστάρχου γραφή· ἔστι γὰρ Ὁμηρικὴ ἡ φράσις· „οἵ σ' ὠτειλὴν αἷμ' ἀπολικμήσονται".*

29 *τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις*: **οἱ δὲ γράφουσιν „ἀπήγαγον αὖτις".* V.

31 *τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων*: *διὰ τοῦ ἑτέρου λ αἱ Ἀριστάρχου.* A^{t}: d. i. *ἀπολήξῃς*. Vgl. zu *I* 154 und *K* 258.

32 *ὄφρα ἴδῃς, ἥν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή*: *„ἴδῃ" χωρὶς τοῦ σ.* V. So Aristarch: s. zu *A* 203.

33 *ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ' ἀπάτησας*: *οὔτε παρὰ Ζηνοδότῳ οὔτε παρ' Ἀριστοφάνει ἦν· καὶ μήποτε περιττός ἐστιν.* A^{t}. Vgl. zu *K* 497.

44 *τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς*: *ἐν τῇ Ἀριστοφάνους καὶ Μασσαλιωτικῇ καὶ Ἀργολικῇ οὕτως ἐφέρετο „κτεινομένους δ' ἐπὶ νηυσὶν ἰδών"· καὶ ἔστιν ἐμφατικώτερον τοῦ „τειρομένους".* A.

45 *αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην*: *ἐκ πλήρους Ἀρίσταρχος τὸν „καί" σύνδεσμον.* A^{t}. Vgl. zu *α* 177.

---

9 *θυμὸς ἀνίη* V. 11 *οἶσ ωτειλην* A^{t}. 13 *τινὲς „θυμός", ἀντὶ τοῦ ὀργή· ἄμεινον δὲ „θυμόν" γράφειν, ἵνα δηλοῖ τὸ ἔνδον θερμὸν ἤτοι τὴν ψυχήν.* BL. 15 *οἱ σ'* V. 18 *ἀπολήξῃς* V. 19 *δι' ἑνὸς λ ὀφείλει γρ´.* V (dasselbe auf dem Rande wiederholt). 24 *οὔτε περὶ* [so] *ζηνόδο ἦν, καὶ μήποτε περισσός ἐστιν.* V. *ζηνόδοτον* u. *ἀριστοφ* A^{t}, corr. Vill. u. Bekk. 25 *περιττος ἔστι* A^{t}. 27 *τὸ δὲ „τειρομένους ἰδὼν ἠλέησεν", ὅπερ ἡ Μασσαλιωτική, φασι, γραφὴ „κτεινομένους" ἔχει, ἀπολογία ὑπὲρ Ποσειδῶνός ἐστιν κτέ.* Eust. 1005, 17.

49 *εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπι πότνια Ἥρη*: Ἀριστοφάνης μετὰ τοῦ σ̄ „βοῶπις“· καὶ ἔστιν εὐφραδέστερον. A^t.

50 *ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις*: ἐν τοῖς εἰκαιοτέροις „ἀθανάτοισι θεοῖσι“. A^t. (Bekker und Dindorf änderten ταῖς εἰκαιοτέραις, unnütz: s. zu *β* 182.)

53 *ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις*: οὕτως διὰ τοῦ γέ „ἐτεόν γε“, καὶ Ἀριστοφάνης. A^t. *E quibus Heynius collegit particulam aliis defuisse; refutari potius crediderim ab interprete* ἐτεόν τε καὶ ἀτρεκέως. Spitzner. — Wie gewöhnlich ist οὕτως = οὕτως Ἀρίσταρχος (s. Einl. § 36), also καὶ richtig; ähnlich *Α* 124. 298. 332. 435 u. ö.

55 *Ἰρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον*: *τινὲς „κλυτὸν αὐδήν“· οὐκ οἶδε δὲ αὐτὸν Ὅμηρος ᾄδοντα, ἀλλὰ κιθαρίζοντα. V. Vgl. Ariston. *Γ* 54.

56 *ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων*: *ἀπὸ τούτου ἕως τοῦ „λισσομένη τιμῆσαι“ [77] ἀθετοῦνται στίχοι κβ'. Aristonikos; s. denselben zu Vs. 63. 69. 71. *Μ* 71. 115. καὶ παρὰ Ἀριστοφάνει ἠθέτηντο. A^t. Ζηνόδοτος δὲ ἀπὸ τοῦ „Πηλείδεω Ἀχιλῆος“ [64] ἕως τοῦ „λισσομένη τιμῆσαι“ οὐδ' ὅλως ἔγραφεν. A zu Vs. 64.

64 *Πηλείδεω Ἀχιλῆος· ὃ δ' ἀνστήσει ὃν ἑταῖρον*: οὕτως „ἀνστήσει ὅν“ αἱ Ἀριστάρχου, τινὲς δὲ „ἀνστήσειεν ἑταῖρον“ διὰ τοῦ ε̄. A.

αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοὶ
71 *Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς*: Ἀριστοφάνης „Ἴλιον ἐκπέρσωσιν“. A^t. — Cod. Ἀρίσταρχος: '*falsum hoc de Aristarcho, v. 69 et M 115. Arist. stud. p. 375*' Lehrs; Aristarch nämlich athetirte den Vers gerade wegen Ἴλιον

---

1 βοῶπις V. 2 οἱ μὲν „βοῶπι“. Ἀριστοφάνης δὲ „βοῶπις“· καὶ ἔστιν εὐφραδέστερον. V. 16 ἀθετοῦνται ὡς περιττοὶ [περισσοὶ V] κβ' [εἴκοσι καὶ δύο B, οἱ εἴκοσι L] στίχοι, ὅτι [καὶ st. ὅτι V] οὐκ ἀρεστοὶ Ἥρᾳ κτέ. B L V (L zu Vs. 63). 18 ἠθέτηντο hat Dindorf ohne Grund in ἠθετοῦντο verändert. Ζηνόδοτος ἔνθα [? ἔνθεν] ἕως τοῦ „λισσομένη“ οὐδὲ ἔγραφεν. V (mit dem Lemma ὃ δ' ἀναστήσει Πάτροκλον); φασὶ δὲ καὶ ὅτι ὁ Μαλλώτης Ζηνόδοτος τὰ ἐκ τοῦ „Πάτροκλον κτενεῖ φαίδιμος Ἕκτωρ“ καὶ ἑξῆς ἕως τοῦ „λισσομένη τιμῆσαι Ἀχιλλέα“ Εὐριπιδείῳ λέγει ἐοικέναι προλόγῳ, ἀφελῶς προαχθέντα καὶ εἰς οὐδὲν δέον ἀφηγηματικῶς. ὅτι δὲ οὐδὲ εὐτελεῖς οἱ τοῦ χωρίου τούτου στίχοι, ὡς οἱ ὀβελίσαντες ψηφίζονται, κτέ. Eust. 1006, 3. 21 ἂν στήσει ὂν A. 23 διὰ τοῦ ε̄] in A folgt Ζηνόδοτος δὲ κτέ. (Vs. 56).

αἰπύ: s. zu Vs. 56. (Steph. Byz. s. v. *Ἴλιον: οὐδετέρως δὲ παρὰ πᾶσι τὸ Ἴλιον, παρ' Ὁμήρῳ δὲ θηλυκῶς· τὸ γὰρ „Ἴλιον αἰπύ" νοθεύει Ἀρίσταρχος.*) *Ἀριστοφάνης* corr. Cobet. Mnemos. 1876 p. 280 (Miscell. crit. p. 433). **ἀεὶ θηλυκῶς λέγει ὁ ποιητής . . . τινὲς δὲ „Ἴλιον ἐκπέρσωσι" γράφουσιν.* BLV.

72 *τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτε τιν' ἄλλον: οὕτως Ἀρίσταρχος χωρὶς τοῦ σ̄ „παύω".* A[t].

78 *ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη: †τινὲς μετὰ τοῦτον γράφουσιν „Ζῆν' ὑποταρβήσασα· νόος δέ οἱ ἄλλα μενοίνα".* V.

79 *βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον: *Ζηνόδοτος „βῆ δ' ἐξ Ἰδαίων"· ἀπὸ ἴσου γὰρ ἐπὶ τὸ ἴσον ἡ δίοδος.* V. *Sunt haec ex Aristarcheo fonte. Aristarchus, non Zenodotus, scripsit ἐξ: v. Α 196 et Ο 169.* Lehrs bei Friedländer Ariston. p. 241. Vielleicht hiess es bei Didymos etwa so: *Ζηνόδοτος* [*„βῆ δὲ κατ' Ἰδαίων", Ἀρίσταρχος δὲ*] *„βῆ δ' ἐξ Ἰδαίων" κτέ.*

82 *ἔνθ' εἴην ἢ ἔνθα, μενοινήσειέ τε πολλά: οὕτως Ἀρίσταρχος „ἔνθ' εἴην" μετὰ τοῦ ν̄, καὶ διὰ τῶν β̄ ηη „μενοινήησί τε".* A[t]. Andere *εἴη*.

86 *πάντες ἀνήιξαν καὶ δεικανόωντο δέπασσιν: *Ἀρίσταρχος σημειοῦται, ὅτι οὕτως μόνως γραπτέον „δέπασσι"· φησὶ γοῦν ἐν τοῖς ἑξῆς „Θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας"* [87]. *ἐν ἐνίοις δὲ „κάλεόν τέ μιν εἰς ἓ ἕκαστος", οὐκ εὖ· ἰδίαν γὰρ ἔχει καθέδραν· πῶς οὖν πρὸς ἑαυτὸν ἕκαστος καλεῖ; ἐπὶ μὲν τῆς Ἴριδος ἁρμόζει τῆς πρὸς τοὺς ἀνέμους παραγεγονυίας* [Ψ 203]. *ἀλλὰ μὴν οὐδ' „ἐπέεσσι" γραπτέον· ἐπιδίδωσι γὰρ ἡ Θέμις αὐτῇ τὸ ποτήριον. ὁ δὲ Θρᾷξ Διονύσιος παρακεῖσθαί*

---

5 *τινὲς δὲ*] *τινὲς οὖν* V, ohne Zwischenbemerkung an *ὁ ποιητής* anknüpfend. *ἐκπέρσωσιν* ohne *γράφουσιν* V. 7 *οὕτως ἄνευ τοῦ σ̄.* V; *ἄνευ τοῦ σ̄ οἱ περὶ Ἡρωδιανόν.* BL; s. Lentz Her. I p. CXXI. 9 *Ζῆν'* Heyne VII p. 774 st. *ζηνόδοτος*; derselbe corr. *ὑποταρβήσασα* st. *-σατο* und *μενοίνα* st. *μενοινᾷ*. 12 *ἴσον* V. 18 *εἴη* V, *ᾔει* L. 19 *τὸ δὲ „ἔνθ' εἴη ἢ ἔνθα" σὺν τῷ ν̄ οἱ Ἀριστάρχειοι γράφουσι, καὶ σημαίνει τὸ ὑπῆρχον κτέ.* B; *τὸ „εἴην" σὺν τῷ ν̄ Ἀριστάρχειοι, καὶ σημαίνει τὸ ὑπῆρχον κτέ.* Par. 2679 in An. Par. III 20, 21; *Ἀρίσταρχος „εἴη", ἀντὶ τοῦ πορευθείη . . . ἄλλως. ἔνθ' εἴην ἢ ἔνθα: τὸ „εἴην" σὺν τῷ ν̄ Ἀριστάρχειοι, καὶ σημαίνειν* [so] *τὸ ὑπῆρχον κτέ.* V; *τὸ „εἴην" τοῖς Ἀρισταρχείοις σημαίνει τὸ ὑπῆρχον κτέ.* D; *παρὰ Ἀριστάρχῳ „ἤειν" μετὰ τοῦ ν̄· γράφεται „εἴη", καὶ ὑπῆρχεν.* L. *ηη*] *ῃ* Cod.: s. zu Γ 57. 24 *εὖ* st. *ἔτι* corr. Bekk. 28 *παρακεῖσθαι*

φησι τὸ σημεῖον, ὅτι διὰ παντὸς τοὺς θεοὺς συνίστησι πίνοντας καὶ ταύτην ἀρίστην διαγωγὴν ἔχοντας, πρὸς τὸ ἐν Ὀδυσσείᾳ „οὐ γάρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ“ [ι 5 f.]. Aristonikos in A. (ταὐτὰ ὁ Δίδυμος τῷ Ἀριστονίκῳ λέγει περὶ τῆς γραφῆς τῆς „δέπασσι“. A^t: '*nam illud de causa diples et Dionysio Thrace Didymus ut decet non tangit*' Lehrs.) *Hoc totum posuimus, quia quid utrique debeatur distingui non potest.* Friedländer Ariston. p. 242. οἱ περὶ Ζηνόδοτον ἀγνοήσαντες „ἐπέεσσι“ γράφουσιν· ἐλέγχονται δὲ φανερῶς ὑπὸ τοῦ „Θέμιστι δὲ δέκτο δέπας“. BLV.

88 **δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα:** *γράφουσι μέν τινες „θέουσα“· ἄμεινον δὲ τὸ „φέρουσα“. BL. (**θέουσα:** ἄμεινον „φέρουσα“. V.) Das Urtheil ist schwerlich von Didymos: s. Z 394.

94 **οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής:** Ἀρίσταρχος „κείνου“ Ἰακῶς. A^t.

104 **νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες:** κατ' ἔνια τῶν ὑπομνημάτων „ἀφρονέοντα“. A^t. Vielmehr ἀφρονέοντι: vgl. V τινὲς „ἐριδαίνομεν ἀφρονέοντι“.

114 **χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα:** οὕτως καὶ ἡ Ἀριστάρχου καὶ πᾶσαι „ἔπος ηὔδα“, οὐ „προσηύδα“. A^t. Vgl. zu Vs. 398.

116 **τίσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν:** †„ἰόντι“· οὕτω τὸ τέλειον. τινὲς δὲ „ἰόντα“. V. Scheint nur eine Erklärung zu sein: s. indessen zu Α 323.

123 **εἰ μὴ Ἀθήνη πᾶσι περιδδείσασα θεοῖσιν:** διὰ τοῦ ἑτέρου δ αἱ Ἀριστάρχου. A^t: d. i. περιδείσασα.

134 **αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι:** ἡ Ἀριστοφάνειος „κακὸν μέγα πᾶσι“, Ζηνόδοτος δὲ „αὐτὰρ τοῖς ἄλλοισι θεοῖς μέγα πῆμα φυτεῦσαι“. A. — Cod. θέτις. Heyne VII p. 30 corr. θεοῖς aus V οὕτως ἡ Ἀριστοφάνους· ἡ Ζηνόδοτος [l. Ζηνοδότου] δὲ „θεοῖς μέγα πῆμα φυτεῦσαι“.

φασὶ A, corr. Bekk. 3 τι φημὶ A. 4 ταυ̃^τ ὁ Δίδυμος τῷ Ἀρ. A^t, ταῦτα ὁ Δ. ὁ Ἀρ. Bekker, ταῦτα ὁ Δ. ὁμοίως Ἀρ. Lehrs Arist.[2] 28, τὰ αὐτὰ Ἀριστόνικος, ἃ καὶ ὁ Δ. Düntzer Zen. p. 4 (im Philol. IX 321 verlangt er ἃ καὶ ὁ Ἀριστόνικος st. ὁ Ἀριστονίκῳ), ταὐτὰ ὁ Δ. τῷ Ἀρ. Friedländer Ariston. p. 242. 8 οἱ περὶ Ζην. ἀγνοήσαντες] τινὲς δὲ ἀντὶ τοῦ „δέπασσιν“ V. 9 φανερῶς fehlt V. 17 ἀφρονέοντες (ad über ον) A im Text.

138 *τῶ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος:*
**Ζηνόδοτος γράφει „υἷος ἑοῖο“.* Ariston.

139 *ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων —:*
Ζηνόδοτος καὶ Ἀριστοφάνης „τοῦδε“. A[t] neben Vs. 138.

147 *αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ' εἰς ὦπα ἴδησθε,*
ἔρδειν, ὅττί κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ:
**ἀθετοῦνται ἀμφότεροι.* Ariston. *καὶ Ἀριστοφάνης προηθέτει.* A[t].

162 *εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει:*
**Ἀμμώνιος „εἰ δέ μου.“* V. Wohl verkürzt aus *Ἀμμώνιός φησι γράφεσθαι —.* Vgl. Lehrs Arist.[2] p. 23.

164 *μή μ' οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ*
μεῖναι, ἐπεί εὖ φημι —:
**τινὲς „ἐπιόντα θελήσῃ“. ἀντὶ τοῦ δυνηθῇ· „οὔδ' ἔθελε προρέειν“* [Φ 366], *ἀντὶ τοῦ οὐκ ἠδύνατο.* V.

166 *καὶ γενεῇ πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ*
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι:
**ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεινται, ὅτι τοὺς ὕστερον λεγομένους ὑπὸ τῆς Ἴριδος δι' ἐπιείκειαν* [182 f., w. s.] *ἐνθάδε τις μετενήνοχεν.* Aristonikos.

169 *βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν:*
**Ζηνόδοτος γράφει „ἐξ Ἰδαίων“· ἁρμόζει δὲ μᾶλλον „κατ' Ἰδαίων“.* Ariston. Vgl. zu Vs. 79.

179 *ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίξων:*
ἐκ πλήρους τὸν σύνδεσμον Ἀρίσταρχος. A[t]. [*τὸ*] *„κἀκεῖνος“ ἐκ πλήρους* [also *καὶ κεῖνος*]· *ὃ καὶ ὁ Ζηνόδοτος γράφει.* V.

Ζηνόδοτος διὰ τοῦ ζ [d. i. *πολεμίζων*]. A[t]. *„πολεμίξων“* (*δὲ*) *διὰ τοῦ ξ, Ἀρίσταρχος δὲ διὰ τοῦ σ* [vielmehr *διὰ τοῦ ξ Ἀρίσταρχος, Ζηνόδοτος δὲ διὰ τοῦ ζ*]. V.

187 *τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα:*
οὕτως Ἀρίσταρχος διὰ τῶν β' κκ. A[t]: d. i. *τ' ἐκ Κρόνου*, nicht *τε Κρόνου*. Bestätigt Nikanor. Vgl. V *οὕτως διὰ τῶν β' κκ, καὶ πολλοὶ τῶν ἀπὸ τῆς σχολῆς. εἰ δὲ εἴη „τε Κρόνου“, λείπει ἡ ἐξ πρόθεσις, ὡς ἐν τῷ „αἱ δὲ βόες χρυσοῖο τετεύχατο“* [Σ 574]. S. zu Ξ 202.

---

2 *Ζηνόδοτος δὲ γράφει „υἷος ἑοῖο“.* so V. 4 *τοῦδε* A[t], nicht *τοῦ δέ*. 8 *ἐπέεσσι* V. 21 *ἰδέων* A[t], corr. aus V. *κατϊδέων* A[t], corr. aus V. 23 *κακεῖνος* V im Lemma wie im Schol. *πτολεμίξων* A im Text. 31 *κκ*] Cod. *κ*, aber im Schol. des Nikanor *κκ*: s. zu Γ 57.

192 *Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρυν ἐν αἰθέρι καὶ νεφέλῃσι:* *Ζηνόδοτος „αἰπύν". Ariston.

197 *θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη:* †τινὲς δὲ „υἱέσιν", ὅπερ ἐστὶν Ἀττικὸν ἁμάρτημα. V. Ἀρίσταρχος „βέλτερον [εἴη]", οἱ δὲ εἰκαιότεροι γράφουσι „κέρδιον εἴη". Ἀριστοφάνης „κάλλιον εἴη". A.

206 *Ἶρι θεά, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες:* *Ζηνόδοτος ἐσημειώσατο [athetirte?]. V.

207 *ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ:* Ζηνόδοτος διὰ τοῦ π̄ „εἴπῃ". A[t].

211 *ἀλλ' ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω:* Ἀρίσταρχος „νῦν μέν γε", ἄλλοι δὲ „νῦν μέν κε". A[t].

212 *ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῷ:* *ἀπὸ τούτου ἕως τοῦ „ἴστω τοῦθ' ὅτι νῶιν" [217] ἀθετοῦνται στίχοι ἕξ. Ariston.

214 *Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος:* *τινὲς „Ἥρης Ἡφαίστου τε καὶ Ἑρμείαο". A V. (Ἑρμείω: Ἰωνικὴ γενικὴ παθοῦσα· εἰ γὰρ ὑγιής, ἔσται Ἑρμείεω ὡς Ἀτρείδεω. A[t].)

225 *οἵ περ νέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες:* *Ζηνόδοτος γράφει „οἵ περ νέρτατοι". Ariston.

231 *σοὶ δ' αὐτῷ μελέτω, ἑκατηβόλε, φαίδιμος Ἕκτωρ:* *ἀπὸ τούτου ἕως τοῦ „ὥς κε καὶ αὖτις Ἀχαιοί" [235] ἀθετοῦνται στίχοι πέντε. Ariston. καὶ παρὰ Ἀριστοφάνει ἠθετοῦντο. A[t].

232 *τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται:* Ἀρίσταρχος „τόφρ' ἂν Ἀχαιοί" μετὰ τοῦ τ̄. A[t].

240 *ἥμενον, οὐδ' ἔτι κεῖτο, νέον δ' ἐσαγείρετο θυμόν:* οὕτως Ἀρίσταρχος διὰ τοῦ ε̄ „ἐσαγείρετο" παρατατικῶς, ἄλλοι δὲ „ἐσαγείρατο" διὰ τοῦ ᾱ. A[t]. Vgl. Friedländer Ariston. p. 5.

---

6 Ἀρίσταρχος „βέλτερον εἴη". A[t]. 13 διὰ τοῦ γ̄ „μέν γε". V. 18 ἑρμείω so V. 19 ἔστε A. 21 ἐνέρτεροί V. 22 Ζηνόδοτος γρ' „οἵπερ ἐνεύρτατοι". so V. ὕπερ A: s. zu B 192. 24 οἱ ε' ἀθετοῦνται ὑπὸ Ἀριστοφάνους ὡς ἀχρεῖοι κτἑ. V (mit dem Lemma οἱ ἔγειρε μένος): s. Lehrs Arist.[2] p. 32. 25 ἠθετοῦνται so A[t]. 29 διὰ τοῦ τ̄ „τόφρ' ἂν Ἀχαιοί" αἱ Ἀριστάρχου. A[t], dies rechts, das obige links vom Text. 31 ἐσάγείρετο und 32 ἐσάγείρατο A[t].

252 ἤματι τῷδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄιον ἦτορ: Ἀρίσταρχος „ἴξεσθαι"· καὶ οὐκ ἄχαρις ἡ γραφή. A[t].

265 εἰωθὼς λούεσθαι ἐυρρεῖος ποταμοῖο: *ἀπὸ τούτου ἕως τοῦ „ῥίμφα ἑ γοῦνα φέρει" [268] ἀθετοῦνται στίχοι δ', καὶ ἀστερίσκοι παράκεινται, ὅτι οἰκειότερον ἐπ' Ἀλεξάνδρου [Z 508—511]. Ariston. (Von einem Widerspruch mit dessen Bemerkung zu Z 506 kann nur reden, wer die betreffenden Stellen missverstanden hat.) Ζηνόδοτος τοῦτον μόνον γράφει, Ἀρίσταρχος δὲ καὶ τοὺς ἄλλους γ'. V. Für γράφει wird mit E. Hiller Philol. XXVIII 106 περιγράφει zu emendiren sein.

269 ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα: *τινὲς δὲ τὸ γενικόν, τὸ „γυῖα". V.

270 ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν: †τινὲς „ὀτρυνέων"· οὔπω γὰρ κατηντήκει εἰς τὸ πλῆθος τῶν Τρώων. V.

272 ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται: Ἀρίσταρχος „ἐσσεύαντο" διὰ τοῦ ᾶ, καὶ ἅπασαι. A[t]. Vgl. Friedländer Ariston. p. 5.

274 εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν: *(περισσὸν τὸ τέ). τινὲς δὲ ταῖσφιν. V. Lehrs: ἔτι σφι? *certe in hoc praesertim codice causa nulla est, ut aliquid exquisitius latere putemus* (wie Spitzner gemeint hatte). Vermuthlich ist ταῖσφιν aus τέ σφι verdorben (s. zu Z 71), und das Lemma zu dieser Notiz lautete ehemals τί σφι.

277 ὣς Δαναοὶ εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο: Ζηνόδοτος γράφει „τείως". (ἔστι δὲ ἀνταποδοτικόν.) V. Aristarch εἵως, was aus Nikanor (πάλιν τὸ „εἵως" ἀντὶ τοῦ τέως κεῖται) hervorgeht.

301 οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα: Ζηνόδοτος καὶ Ἀριστοφάνης „Αἴαντε" δυϊκῶς. A[t]. Vgl. zu M 342.

Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
307 μακρὰ βιβάς —:
„βιβῶν" πᾶσαι εἶχον. Ζηνόδοτος „βοῶν", ἐπεὶ καὶ ἑξῆς φησιν

---

2 οἱ μὲν „ἴξεσθαι" γρ', οἱ δὲ „ἰξεῖσθαι" [ἱκνεῖσθαι?]· οὐ γὰρ ἄχαρις ἡ γραφή. V. 15 οὔπω Bekker st. οὕτω. 18 αἱ πᾶσαι διὰ τοῦ ᾶ „ἐσσεύαντο". V. 30 Αἴαντε V. 31 οὕτως οἱ περὶ Ζηνόδοτον δυϊκῶς· οἱ δὲ „ἀμφ' Αἴαντα". V. 34 βιβᾶς.

„ἐπὶ δ' αὐτὸς ἄυσε μάλα μέγα" [321]. A. Ἀρίσταρχος „βιβῶν". A[t]. Es scheint hier ein Irrthum untergelaufen und zweimal βιβῶν für βιβάς verschrieben zu sein; denn wir wissen bestimmt, dass Aristarch *H* 213 μακρὰ βιβάς und *N* 371 ὕψι βιβάντα las, mag auch der Verfasser der Scholien zu beiden Stellen gar nicht an die Varianten βιβῶν und βιβῶντα, sondern nur an die Accentuation der von ihm beglaubigten Formen gedacht haben. Wer éinmal sich für μακρὰ βιβάς entschied, wird ihm vermuthlich auch in den übrigen Fällen den Vorzug gegeben haben. Leider hält sich V diesmal in ganz unbestimmten Ausdrücken: μακρὰ βιβάς: οὕτως τινές, ἐπεὶ καὶ „ὕψι βιβάντα" φησίν· ἄλλοι δὲ „βιβῶν" γράφουσιν, ἐπεὶ καὶ ἑξῆς φησι[ν] „ἐπὶ δ' αὐτὸς ἄυσε μάλα μέγα". Doch spricht οὕτως dafür, dass unter den τινές sich vor Allen Aristarch befand (s. Einl. § 41), dem wahrscheinlich auch die Begründung durch den Hinweis auf *N* 371 angehört. Vor dem zweiten ἐπεὶ καὶ ist in V Ζηνόδοτος δὲ „βοῶν" ausgefallen. Vgl. Spitzner zu *H* 213. Düntzer Zen. p. 131. — Hält man die Überlieferung aufrecht, so bleibt nichts anderes übrig, als eine starke Inconsequenz Aristarch's anzunehmen (s. Einl. S. 174).

342 φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν: *τινὲς „ἐν πυμάτοισι"· καὶ οἰκεῖον τοῦτο Πάριδι. BLV.

347 νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα: *Ζηνόδοτος γράφει „ἐπισσεύεσθον". Ariston.

356 ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων: *Ζηνόδοτος γράφει „χερσίν". Ariston.

377 ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητίετα Ζεύς: *Ζηνόδοτος γράφει „μέγα δ' ἔκλυε". Ariston.

393 ἧστό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ —: *τινὲς „ἔτερπε λόων"· τοὺς γὰρ νοσοῦντας ἔλουον· φησὶ γοῦν „εἰσόκε θερμὰ λοετρὰ ἐυπλόκαμος Ἑκαμήδη θερμήνῃ" [Ξ 6]. ἄμεινον δὲ „λόγοις"· φησὶ γοῦν ἀπιὼν „ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω" [O 401]. V. Aristarch las λόγοις, wie aus Aristonikos z. St. ersichtlich ist.

394 φάρμακ' ἀκήματ' ἔπασσε μελαινάων ὀδυνάων: ἐν τισιν „ἀκέσματ'"· οὕτως δὲ καὶ Ἀρίσταρχος. διχῶς οὖν. A[t].

29 λόων Nauck Mélanges Gréco-Romains IV S. 54 st. λούων (Bekker Il. p. 511 λοέων). γοῦν Bekker st. γάρ. 35 διχῶς, καὶ „ἀκέσματα: ἐπέπασσεν". so V. ἀκέστατ' A[t], aber das erste τ ausgestrichen und darüber μ. διχῶς] χ A[t]: das Zeichen bedeutet sonst χωρίς, z. B. *N* 705;

Die ursprüngliche Fassung des Scholions ist gestört: s. Einl. § 42. — Herodian z. St. verlangt *ἀκήματα*.

398 *χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα*: *οὕτως Ἀρίσταρχος „ἔπος ηὔδα“.* A[t]. Andere *δὲ προσηύδα*: s. zu Vs. 114.

417 *οὔθ' ὃ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας*: *Ἀρίσταρχος χωρὶς τοῦ σ̄ γράφει „νῆα“· προεῖπε γὰρ „τὼ δὲ περὶ μιᾶς* [*μιῆς περὶ* Vs. 416] *νηὸς ἔχον πόνον“.* A. *Ἀρίσταρχος „νῆα“, ἄλλοι δὲ „νῆας“.* A[t]. **νῆα: τὴν ἀμφήριστον· προεῖπε(ν) γὰρ „τὼ δὲ μιῆς περὶ νηος ἔχον πόνον“. οὐ δεῖ οὖν γράφειν „νῆας“. ἀλλ' οὐδὲ τὸ μέτρον ἐπιδέχεται „νῆας“ γράφειν* [‘*sc. vs. 420*’ Lehrs]. V.

431 *Αἴαντος θεράποντα Κυθήριον* —: †*τινὲς διὰ τῶν β' ρρ* [d. i. *Κυθήρριον*]. V. Vgl. die von Benseler Wörterb. d. gr. Eigenn. unter *Κύθηρος* citirten Stellen.

439 *ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι*: **Ζηνόδοτος γράφει „ἶσα φίλοισι τέκεσσι[ν]“.* Ariston.

449 *Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ* —: **ἀθετοῦνται στίχοι γ'* [449—451], *καὶ ἀστερίσκοι παράκεινται, ὅτι ἐπὶ Ἱπποθόου τοῦ ἐπικούρου ἁρμόζει ἐν τῇ P* [291] *„Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος“, ἐπὶ δὲ τούτου, καθάπερ νῦν, οὐχ ἁρμόζει . . . ὕστερον δὲ ἐν τοῖς περὶ τοῦ ναυστάθμου ἀπολογεῖται* [‘*sc. Aristarchus*’ Friedländer: s. Lehrs Arist.[2] p. 8] *κτέ.* Ariston.

450 *ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ*: *διχῶς Ἀρίσταρχος, καὶ „ἱεμένῳ“ καὶ „ἱεμένων“.* A[t]. Vgl. Wolf Prolegom. p. CCXL.

451 *αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός*: *Ἀριστοφάνης „πρόσθε(ν)“ γράφει· καὶ ἔστι μᾶλλον εὔλογος ἡ γραφή.* V.

459 *αἴνυτο, καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν*: *Ζηνόδοτος „μάχης“, ἄλλοι δὲ „μάχην“· καὶ Ἀριστοφάνης δὲ „μάχην“.* A[t].

469 *νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα*
πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρῴσκοντας ὀϊστούς:
ἀμφότερα γράφεσθαί φησιν ὁ Ἀρίσταρχος, „πρῴην“ καὶ „πρώϊον“, [*οὐ*] *ταὐτὸν δὲ ἐξ ἑκατέρου σημαίνεσθαι. εὕρομεν δὲ καὶ „ἐύστρο-*

das Richtige bot V. 3 *προσηύδα* V. 4 *„ἔπος ηὔδα“, οὐ „προσηύδα“.* V. 17 *Ζηνόδοτος „τέκεσιν“.* V; *Ἀρίσταρχος* [!] *„τέκεσσι“, κακῶς κτέ.* BL. 28 *ἔστιν* V. 35 *γράφεσθαι φησὶν* A. 36 *τινὲς γρ' „εὔστροφον“.* V.

φον" γεγραμμένον· καὶ ἔχει τινὰ ἐπίστασιν. A. **Ζηνόδοτος γράφει „πρῴην".* Ariston., der *Θ* 328 diesen Vers citirt mit der Variante *νεοστρεφέα*, woraus indessen für Aristarch nichts gefolgert werden darf: s. Einl. S. 66. Lehrs hat *οὐ* eingeschaltet (s. Ariston. z. St.) und *ἐπίτασιν* in *ἐπίστασιν* corrigirt (vgl. *καὶ ἔχει λόγον ἡ γραφή* *Σ* 565).

497 *τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω*: †*εἴρηται καὶ σάος, ὅθεν σαώτερος, καὶ „σόον δ' ἀνένευσε"* [*Π* 252, w. s.]. V. Vgl. zu *Ι* 393. 681.

510 *ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε*: **τὸ δὲ „αὐτοσχεδίῃ" μετὰ τοῦ ῑ τινές.* BL.

513 *ὧδ' αὔτως παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισιν*: *οὕτως γραπτέον „ὧδ' αὔτως".* A[t]. Vgl. zu *Ν* 810.

ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱόν,

516 *ἀρχὸν Φωκήων, Αἴας δ' ἕλε* —: **τινὲς „ἀρχὸν Ἀθηναίων".* V. — Über *Φωκήων* s. Did. *Β* 517.

ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.

563 *αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται*: *χωρὶς τοῦ συνδέσμου ἔγραφεν Ἀρίσταρχος, πάντως ἵνα ἀσύνδετος γενόμενος ὁ λόγος πλέον τε διαστῇ καὶ μᾶλλον ἐμφήνῃ.* A. *Ἀρίσταρχος χωρὶς τοῦ δέ, ἄλλοι δὲ μετὰ τοῦ δέ „αἰδομένων δ' ἀνδρῶν".* A[t].

587 *ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι*: **Ζηνόδοτος γράφει „ἀμφί οἱ αὐτῷ".* Ariston.

601 *ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν*: *Ἀρίσταρχος „τοῦ μέλλε" Ἰακῶς.* A[t]. — Cod. *Ἀριστοφάνης τοῦ μέλας*: '*nonne Ἀρίσταρχος?*' Schmidt Did. p. 157, der diese Conjectur im Philol. IX 430 genügend begründet hat: s. besonders Did. zu *Ζ* 155. *Φ* 84. *δ* 39. (*ξ* 165.) Merkel Apollon. Rhod. p. CVIII glaubt, dass die Überlieferung durch die Bemerkung des Aristonikos *πρὸς τὸ „ἔμελλεν", ὅτι ἀντὶ τοῦ ἐῴκει* geschützt werde; da dieselbe aber die Bedeutung, nicht die Form betrifft und in solchen Fragen Aristonikos überhaupt kein unbedingt zuverlässiger Zeuge ist (s. Einl. S. 66), so habe

---

1 *ἐπίτ* (*α* übergeschrieben) A. *Ζηνόδοτος „πρῴην" γράφει κτέ.* BL. 8 *δὲ ἀνένευσε*, darnach *ν* ausradirt V. 11 *αὐτοσχεδίη: τινὲς μετὰ τοῦ ῑ.* so V. 12 *αὔτως* V, *αὐτως* A (auch im Schol.). 13 *ἀντὶ τοῦ οὕτως, οὐ τοπικόν* [nämlich *ὧδε*] V aus Ariston. 18 *αἰδομένων* A. 26 *Ἀριστοφάνης Ἰακῶς γράφει „μέλλει".* so V.

ich kein Bedenken getragen, Schmidt (und Bekker Il. p. 513) zu folgen. — Damit nicht Jemand glaube, es stehe dieses Scholion im Widerspruch mit dem des Aristonikos zu ζ 165 *ὅτι οὐκ οἶδεν ὁ ποιητὴς τὸ „μέλλεν“· Ἀττικῶν γάρ ἐστι τῶν μεταγενεστέρων*, so verweise ich auf meine dortige Bemerkung. — Dass in unserm Scholion *μέλας* oder vielmehr *ΜΕΛΑΣ* aus *ΜΕΛΛΕ* verdorben sei, sah schon Villoison. Zu Λ 755 steht im Ven. A *διὰ επιδ᾽* st. *διὰ σπιδέος*. Γ 393 *φαῖνε* st. *φαίης*. Öfter σ statt ε: Dind. I p. 114, 14 *βοιωτίησ τρέφε* st. *Βοιωτίη ἔτρεφε*. 143, 12 *αρησ* st. *ἄρνε*. 243, 22 *συναιομένους* st. *εὖ ναιομ*. 408, 5 *διαπραθέσιν* st. *-θέειν*. II 46, 5 *τοῦ σ̄* st. *τοῦ ε̄*. Und λ statt α: Dind. I p. 93, 9 *φλοξά* st. *φαοξά*. 251, 13 *κλυῶ* st. *καίω*. 325, 16 Note *ἐν ἄλλῳ ἐν λιθούσσηι* st. *αἰθ*. II 138, 16 *κύματος ἐκβολαί* st. *κῦμα τόσον βοάᾳ*. Vgl. I 298, 18 *ἐν α′* st. *ἐν δ′*. 431, 26 *τοῦ ᾱ* st. *τοῦ δ̄*. II 58, 13 *ἀέος* st. *δέος*. I 86, 8 *δεξιᾶς* st. *ἀξίας*. 148, 2 *δίεθος* st. *Ἀρίαιθος*. 181, 28 *διδοῦν* st. *δηλοῦν*. 44, 9 *τήλετο δὲ* st. *τῇ δὲ τόδε*. 181, 14. 15 und 400, 6 *εὐρυμέλων* st. *-μέδων*. II 32, 18 *πλοίου* st. *πεδίου*.

609 *σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο*: **τοῦτο* [näml. *ὅτε μαίνετο φαίδιμος Ἕκτωρ* Φ 5] *ἄν τις σημειώσαιτο πρὸς τὸ „τινάσσετο μαινομένοιο“· γράφουσι γάρ τινες „μαρναμένοιο“*. Aristonikos zu Φ 5. Die Lesart *μαινομένοιο* ist also die Aristarchische.

610 *Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ᾽ αἰθέρος ἦεν ἀμύντωρ*: **ἀθετοῦνται στίχοι ε′* [610—614]. Ariston. *ἀθετοῦνται στίχοι ε′ ὡς περιττοί. οὐδὲ παρὰ Ζηνοδότῳ δὲ ἦσαν οἱ ε′*. V.

621 *κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν*: *οὕτως „αὐτήν“ μετὰ τοῦ ν̄ Ἀρίσταρχος, τὴν πέτραν*. A[t]. (*Ἀρίσταρχος „αὐτήν“, δηλονότι τὴν πέτραν, ἵν᾽ ᾖ τὰ ὑπὸ θαλάσσης πρὸς αὐτὴν ἐξωθούμενα*. V.) Andere *αὐτῇ*; wäre die Variante *ἀκτῇ* gewesen, so müsste sich Didymos anders ausgedrückt haben.

622 *ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο*: **ἔν τισι γράφεται „ἐξ ἁλός, ὣς Δαναοί“*. Ariston.

λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφές· ἡ δέ τε πᾶσα
626 *ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη —*:

26 *ζηνοδότου* V. 27 *ἀκτῇ* V. 28 *οἱ μὲν „ἀκτῇ“* [*ἀκτήν* L], *οἱ δὲ „αὐτήν“, ὃ καὶ ἄμεινον, ἵν᾽ ᾖ τὰ ὑπο θαλάσσης πρὸς αὐτὴν ἐξωθούμενα κύματα τὴν πέτραν*. BL.

Ζηνόδοτος χωρὶς τοῦ ῑ „ἄχνη“. A[t]. Die Herausgeber haben ohne zwingende Veranlassung *ὅτι* vorgesetzt; dies fehlt auch in V: *Ζηνόδοτος δίχα τοῦ ῑ τὸ „ἄχνη“*.

**ὅτι ἀρσενικῶς „δεινὸς ἀήτη“, ἀλλ' οὐ „δεινή“, ὡς „κλυτὸς Ἱπποδάμεια“* [*B* 742]. *ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι „δεινὸς ἀήτης“· (ἀλλ' οὐ δεῖ γράφειν οὕτως.)* Ariston. Die eingeklammerten Worte sprach Friedländer dem Aristonikos ab; Schmidt Did. p. 157 und in der Zeitschr. f. AW. 1855 XIII S. 261 hielt sie samt den vorangehenden *ἔνιοι δὲ κτέ.* für Didymeisch, weil bei Did. *A* 424 ebenfalls *ἔνιοι δὲ ποιοῦσι* gesagt sei. Aber dort sind es Worte Aristarch's, nicht des Didymos. Die nichtssagende Bemerkung *ἀλλ' οὐ δεῖ γράφειν οὕτως*, der ich aus Didymos keine entsprechende an die Seite zu stellen wüsste, fehlt in V, wo das Schol. so lautet: *δεινὸς ἀήτης: ὅτι ἀρρενικῶς „δεινὸς ἀήτης“. ἔνιοι δὲ ἀγνοήσαντες πεποιήκασι „δεινὸς ἀήτη“, ὡς „κλυτὸς Ἀμφιτρίτη“* [*ε* 422]· *ἡ γὰρ ἀρσενικὴ ἐκφορὰ* u. s. w. wie in BL. Zur Sache vergl. Friedländer Ariston. p. 31.

635 *αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας —:* †*„ὁμοστιχάει“ συμπορεύεται. βάρβαρον δέ φησιν εἶναι αὐτὸ Διονύσιος.* BL. *Qui haud dubie ὁμοστιχέει melius esse iudicavit; sed vulgatum Epimerista Cram. I 391 synemptosi simplicis verbi excusare videtur.* Lobeck Rhemat. p. 171.

640 *ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ:* **Ζηνόδοτος γράφει „ἀγγελίην“*. Ariston.

645 *στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο:* *κατ' ἔνια τῶν ἀντιγράφων χωρὶς τοῦ π̄ „ἄλτο“. διχῶς δὲ τὸ „στρεφθείς“, διὰ τοῦ ᾱ καὶ διὰ τοῦ ε̄.* A.

668 *τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη:* **ἀπὸ τούτου ἕως τοῦ „ἠδ' ὅσσοι παρὰ νηυσίν“* [673] *ἀθετοῦνται στίχοι ϛ'.* Ariston.

---

4 *ἀρρενικῶς τὸ „ἀήτης“* [*τὸ δὲ ἀήτης ἀρσενικῶς* L], *ὡς τὸ „κλυτὸς* [*κλ. δὲ* B] *Ἀμφιτρίτη“. τινὲς κακῶς νοήσαντες* [*νοήσ. κακῶς* L] *θηλυκῶς ἐκφέρουσιν· ἡ γὰρ ἀρσενικὴ ἐκφορὰ ἐμφαντικώτερον τὸν λόγον ἀπεργάζεται καὶ τὸν ἄνεμον σφοδρότερον δείκνυσιν.* BL (über die letzte Bemerkung s. Lehrs Arist.[2] p. 328); vgl. Ruhnken praef. ad Hesych. p. VIII. 5 *ποιοῦσι*] *μεταποιοῦσι* conj. Schmidt, unnütz: s. die Note zu S. 194, 10. 20 *εἶναί φησιν* L. 31 *ἀθετοῦνται στίχοι γ'* [*τρεῖς* BL]. BLV.

680 ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται ἵππους:
†οἱ δὲ „συναείρεται", ἀντὶ τοῦ συζεύξει, ὡς τὸ „σὺν δ' ἤειρεν ἱμᾶσιν" [K 499]. BL. Stammt aus Porphyrios p. 287, 16 Schr.: ἐνταῦθα γὰρ πρὸς οὐδὲν ἀναγκαῖον ἐγράφη διὰ τοῦ γ̄ κτέ.

νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
689 μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων:
†τινὲς ἐπισυνάπτουσι τούτῳ τόνδε „ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων" [aus X 459]. V mit dem Lemma οὐδὲ μὲν Ἕκτωρ μίμνεν. Unrichtig nahm Bekker an, dass der Vers nach 688 folgte.

694 ἀντίος ἀΐσσων· τὸν δὲ Ζεὺς ὦρσεν ὄπισθε:
Ἀρίσταρχος „ὦσεν ὄπισθε" χωρὶς τοῦ ρ̄, καὶ „ἀντίος" διὰ τοῦ σ̄. A^t. Wegen ἀντίος s. zu Z 54.

712 καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι:
*ἀθετεῖται, ὅτι εὐτελὴς ὁ στίχος καὶ [ἡ] ἰδιότης τῆς μάχης οὐ σώζεται· ξίφεσι μὲν γὰρ καὶ ἔγχεσι πάντοτε μάχονται, νῦν δὲ πελέκεσι καὶ ἀξίναις. ὁ δὲ Διονύσιος, πῶς οὖν ἐπιφέρει „πολλὰ δὲ φάσγανα ... ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον", εἰ μὴ εἶχον ξίφη; Ariston. *Inde ab ὁ δὲ Διονύσιος haud scio an verba Didymi sint.* Schmidt Did. p. 157; schwerlich (s. Einl. S. 49 f.). — In BL ist ἀθετεῖ Ἀρίσταρχος fälschlich zu Vs. 711 gezogen; V hat es richtig (wie A) mit dem Lemma καὶ ξίφεσι versehen.

714 ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων:
οὕτως διὰ τοῦ ο̄ „πέσον". A^t. Vgl. zu **B** 397.

716 Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει:
*Ζηνόδοτος γράφει „οὐκ ἐμεθίει". Ariston. Vgl. zu ζ 1.

737 οὐ μέν τις σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα:
„οὐ μέν τι" χωρὶς τοῦ σ̄ Ἀρίσταρχος. A^t. οὐ μέν τι: οὕτως Ἀρίσταρχος χωρὶς τοῦ σ̄, τινὲς δὲ „οὐ μέν τις". V.

741 τῷ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο:
οὕτως Ἀρίσταρχος σὺν τῷ ῑ „μειλιχίῃ". A^t. *Ἀρίσταρχος κατὰ δοτικὴν ἔγραφεν ... Διονύσιος δὲ ὁ Θρᾷξ κατ' εὐθεῖαν πτῶσιν.

---

2 συζεύξει] συζεύξῃ Cobet Miscell. crit. p. 327. 7 τόνδε Bekker st. τόδε. 12 ὠσέν ὀπισ^θ [folgt ausgestrichenes τ] A^t. 15 ἰδιώτης A. 26 διὰ δὲ τοῦ ο̄ γραπτέον τὸ „πέσον". V. 28 οὐκ ἐμεθίει V, οὐκεμεθίει A^t; Cobet's Conjectur οὐκὶ μεθίει ist verkehrt. 30 μέν τι] darnach Rasur A^t.

Nikanor. *συν τῷ ῑ τὸ „μειλιχίῃ“· τὸ γὰρ λεγόμενον τοιοῦτο, διὸ τὸ τοῦ πολέμου φῶς ἡμῖν ἐν ταῖς χερσίν, οὐκ ἐν τῇ μειλιχίᾳ ἀπαντήσει.* ABLV. Die Erklärung scheint Aristarchisch; vgl. ausser Nikanor noch Eust. 1040, 36 *ὅτι τὸ „ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο“ γνωμικῶς ῥηθὲν Ἀρίσταρχος μὲν οὕτως ἐκλαμβάνει ὡς ἐν τῷ δρᾶν ἐστιν ἡ νίκη καὶ οὐκ ἐν τῇ μειλιχίῃ τοῦ πολέμου. ὁ δὲ Θρᾷξ Διονύσιος εὐθεῖαν νοεῖ τὸ „μειλιχίη“ λέγων ὅτι ἐν χερσὶν ἡμῖν ἡ σωτηρία. προσήνεια δὲ οὐκ ἔστι πολέμου.*

ΙΛΙΑΔΟΣ Π.

5 *τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς:* **Ἀρίσταρχος γράφει „θάμβησεν“· οὐ γὰρ ἂν ἔπληξεν ἐν τῷ πυνθάνεσθαι, εἴπερ ᾤκτειρεν.* V.

10 *δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ᾽ ἀνέληται:* *Ζηνόδοτος „δακρυόεσσα δέ μιν προσδέρκεται“.* A^t^.

16 *τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνειώτων:* *διὰ τοῦ η „τεθνηώτων“ αἱ Ἀριστάρχου.* A^t^.

21 *ὦ Ἀχιλεῦ, Πηλέως υἱέ, μέγα φέρτατ᾽ Ἀχαιῶν:* **οὕτως Πτολεμαῖος* [näml. *Πηλέως*]· *οἱ δὲ ὑπομνηματισάμενοι Ἰακῶς.* V. *Quod quid fuerit, litigari potest.* Spitzner. Keineswegs; denn als die ionische Form galt *Πηλῆος*: s. Choerob. zu Theodos. p. 159, 6. 209, 21. 221, 15. 223, 16 u. ö.

25 *βέβληται μὲν ὁ Τυδείδης, κρατερὸς Διομήδης:* *Ἀριστοφάνης ἔξω τοῦ ἄρθρου „βέβληται μὲν Τυδείδης“.* A^t^.

μὴ ἐμέ γ᾽ οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις.

31 *αἰναρέτη. τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ:* **ὅτι* [*τινὲς*] *γράφουσιν „αἶν᾽ ἀρετῆς“, καὶ ἐκφέρουσι κατὰ τὸ*

1 *λεγόμενον*] *ἑξῆς* BLV. *τοιοῦτον* B, *τοιοῦτον ἐστιν* V. 2 *φῶς*] *φησὶ* und am Rande *γρ. φῶς* V. 15 *δακρυόσσα* A^t^. 16 *τεθνειώτων* A im Text. 17 *τεθνηιώτων* A^t^. 20 *Ἰακῶς*] *i. e. Πηλέος?* Bekker Il. p. 515. 24 *Ἀριστοφάνης δίχα ἄρθ.* V. 27 *ἡ δὲ τοῦ „αἰναρέτη“ ἀνάγνωσις κατὰ Ἡρόδωρον καὶ Ἀπίωνα Ἀριστάρχειός ἐστιν. ἔχει δέ, φασιν, ἡ λέξις ἔπαινον ὁμοῦ καὶ ψόγον, ὡς καὶ προεδηλώθη, ἐξ ἀμφοῖν κεκραμένη. ὅτι μὲν γὰρ ἔχει ἀρετήν, ὁμολογεῖ· ὅτι δ᾽ οὐκ ἐπ᾽ ἀγαθῷ τῶν φίλων, διαβάλλει . . . οὕτω καὶ „αἰναρέτης“ ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων, ἤτοι τὴν ἀνδρίαν κατ᾽ ἐξοχήν. ἕτεροι δὲ τὸ „αἰνέ“ συναλείφουσι καὶ γράφουσιν „αἶν᾽ ἀρετῆς τίς σευ ἄλλος ὀνήσεται“; ἵνα λέγῃ ὅτι, ὦ αἰνέ, τίς ἄλλος τῆς σῆς ἀνδρίας ὀνήσεται; πιθανωτέρα δέ, φασιν, ἡ Ἀριστάρχειος γραφή. ἄλλοι δὲ*

περισπώμενον, ἵν' ᾖ πρότερον „αἰνέ", εἶτα πρὸς τὰ κάτω [τὸ „ἀρετῆς"], „ἀρετῆς τί σευ ἄλλος ὀνήσεται". πιθανώτερον δὲ συνθέτως „αἰναρέτη", ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων. Ariston. *σύνθετόν ἐστι παρὰ θηλυκόν, ὡς τὸ ὑψαγόρη, μισογύνη, ὅπερ ἀγνοοῦντες γράφουσιν „αἰναρέτης", ἵν' ᾖ ὁ χόλος ὁ πολέμιος καὶ ἐχθρὸς ταῖς ἀρεταῖς. ἡ δὲ δίχα τοῦ σ̄ ἀνάγνωσις Ἀριστάρχειός ἐστι, καὶ ἔστιν εἰς αἰνὸν χρώμενε τῇ ἀρετῇ, εἰς ὄλεθρον, οὐκ εἰς σωτηρίαν. δι' ἑνὸς δὲ ὀνόματος ἔπαινον ἔμιξε καὶ ψόγον· ὅτι μὲν γὰρ ἔχει ἀρετήν, φησιν, ὅτι δὲ οὐκ ἐπ' ἀγαθῷ τῶν φίλων, διαβάλλει. BLV.

35 πέτραι δ' ἠλίβατοι, ὅ τί τοι νόος ἐστὶν ἀπηνής: †τρία μέρη λόγου, ἵν' ᾖ τὸ ὅ ἀντὶ τοῦ διό. περισσεύει δὲ τὸ τι. Ἀρίσταρχος δὲ γράφει „ὅτε τοι". V. Wenig glaubhaft.

41 αἴ κέ με σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο: *ὅτι τὸ „εἴσκοντες" ἀνάλογόν ἐστι τῷ κατὰ διαίρεσιν ἐΐσκοντες, ὁμοιοῦντες· „ἔικτο δὲ θέσκελον αὐτῷ" [Ψ 107]. ἡ δὲ ἀναφορὰ πρὸς τοὺς ἀπεκδεξαμένους τὸ „ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν [ὁμοῖα" τ 203]· τὸ γὰρ „ἴσκεν" ὑπολαμβάνουσι κεῖσθαι ἀντὶ τοῦ ἔλεγεν, οὐκ ὀρθῶς. Ariston. *ὁ Ἀσκαλωνίτης κατὰ ἀφαίρεσίν φησιν εἶναι τοῦ ε̄ τὸ „ἴσκοντες"· Ἀρίσταρχος δὲ ἐκτεταμένως ἀναγινώσκει, παρὰ τὸ εἴσκω [ʻl. εἴσκω, *fortasse* πλῆρες τὸ εἴσκω' Lehrs Her. p. 296] ἐκδεξάμενος. ἀμείνων δὲ ἡ τοῦ Πτολεμαίου ἀνάγνωσις· κτέ. Herodian. Dass Aristarch εἴσκοντες schrieb, wird auch zu Λ 799 bezeugt. (Lehrs Arist.² p. 98.)

50 οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα οἶδα: Ἀρίσταρχος „εἴ τινα οἶδα" διὰ τοῦ [l. τῆς] ει. A^t. *Ἀρίσταρχος „εἴ

„αἰναρέτης" γράφουσι κατ' εὐθεῖαν πτῶσιν, ἵνα ᾖ χόλος αἰναρέτης ὁ κακύνων τὰς ἀρετάς. Eust. 1043, 47. Vgl. Apoll. Soph. p. 14, 15. Et. M. 36, 9. τινὲς fügte Vill. zu; in A ist eine Lücke. 1 τὸ ἀρετῆς hat Friedländer zugesetzt. 4 τὸ fehlt V. ὅπερ] ὃ V. 5 αἰν' ἀρετῆς conj. Schmidt Did. p. 158. ὁ πολ.] ὁ fehlt V. 6 ταῖς ἀρεταῖς καὶ ἐχθρὸς V, wo dann folgt μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος αἰναρέτης. ἡ δὲ] ἐπεκράτησε δὲ ἡ V. τοῦ σίγματος L. Ἀριστάρχειος οὖσα V. 7 καί ἐστιν V. ἀρετῇ wiederholt, nachträglich unterstrichen V. 8 δι' ἑνὸς δὲ V, fehlt BL. ὀνόματος ἔπαινον ἔμιξε BV, ὀνόματα δὲ ἔμιξεν ἔπαινον L. 9 φησί V. 10 φίλων BV, ἄλλων L. διαβάλλει] folgt αἰναρέτη V. 15 ἴσκοντες A, corr. Lehrs: s. zu Λ 424. 17 ʻAn παρεκδεξαμένους?' Lehrs Arist.² 97 (vgl. aber das. p. 82 und 103). Angeblich steht dies in der Handschr.: s. Dindorf II p. 390 zu 92, 33. 22 ἄμεινον A: s. zu Β 397.

τινα“, ἵν' ᾖ ἠθικώτερον· εἰ καὶ οἶδά, φησι, τινὰ μαντείαν, ἀλλ' οὐ φροντίζω αὐτῆς. BLV.

53 ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι: *Ἀρίσταρχος „ὁππότε τις“. V.

τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων

59 Ἀτρείδης ὡς εἴ τιν' ἀτίμητον μετανάστην: ἐν τῇ Μασσαλιωτικῇ καὶ τῇ Ῥιανοῦ „μεταναστεῖν“ [μετανάστιν corr. Lobeck Paralipom. II p. 433 und Bekker Il. p. 516], καὶ ἀκούουσι τὴν Βρισηΐδα. V. ὁ μὲν Ἀρίσταρχος [l. Ῥιανὸς] γράφει „μεταναστήν“ [l. μετανάστιν] καὶ πρὸς τὴν Βρισηΐδα ἀκούει· ὁ δὲ Ἡρωδιανὸς [l. Ἀρίσταρχος] αἰτιατικὴν ἀντὶ γενικῆς φησιν, ἵν' ᾖ, ὡς ἐκ χειρὸς ἀτιμήτου μετανάστου ἀφείλετο. BL. Die erste und die letzte Emendation sind bereits von Mayhoff De Rhian. p. 40 f. in Vorschlag gebracht worden: jene wird durch das Schol. V, diese durch Aristonikos gestützt: ὅτι ἀντὶ τοῦ ἀτιμήτου μετανάστου, ὡς τὸ „ἐπεί μ' ἀφέλεσθέ γε δόντες“ [Α 299] ἀντὶ τοῦ ἐμοῦ. Der Name Ἡρωδιανὸς hat wie öfter den Namen Ἀρίσταρχος verdrängt: s. Lentz Her. I p. CXXI. Ἀρίσταρχος ist in den Odyssee-Scholien wiederholt in ἀρίων oder ἀρίον verdorben (z. B. ϑ 98. 198. ι 73. 331. 333. 383), entstanden aus der Abbreviatur ἀρί, und noch häufiger findet sich ἀριανός verschrieben statt Ῥιανός (z. B. α 95. 124. 278. γ 24. δ 12. ι 491. ἄρινος α 95. ἀρειανοί oder ἀρειανός γ 178. δ 158. ε 393. ἠριανός ε 296. Meineke Anal. Alex. p. 205 f.): es liegt auf der Hand, dass eine Verwechselung der beiden Namen kaum ausbleiben konnte (s. zu Ε 118. Ν 351). — Mayhoff wollte μεταναστήν für μεταναστεῖν, so dass der Unterschied zwischen dieser und der Aristarchischen Lesart (μετανάστην) nur im Accent bestehen würde: aber in Accentsachen ist weder die Massaliotike noch Rhianos eine Autorität und konnten es füglich auch nicht sein.

66 εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν: *εἰ δὴ ταῦτα οὕτως ἔχει ὡς φῄς. ἔνιοι [δὲ] γράφουσιν „ᾗ δή“.

---

1 τινα] τινα οἶδα V. ᾖ] ἢ V. φησί fehlt V. τινὰς μαντείας L. 2 ἀλλ' fehlt V. φροντίζω αὐτῶν L, φροντίζων τῆς so V. 7 μασαλιωτικῇ V. 10 γράφει fehlt L. βρησηΐδα B. 16 ἀφελεσθαί A¹, auf dem dritten Vocal ein ausgestrichener Acut. 33 εἰ δὴ bis φῄς fehlt D. ὡς φῄς fehlt V. ἔνιοι γρ' V, γράφεται δὲ καὶ BL, γράφεται καὶ D.

ἵν᾽ ᾖ, ἐν ᾧ τόπῳ τὸ τῶν πολεμούντων πλῆθος ἀμετακίνητόν ἐστιν, ἐκεῖ καὶ αὐτὸς ἄρχε Μυρμιδόσιν. BDLV.

71 *ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους*
πλήσειαν νεκύων —:

οὕτως „ἐναύλους“ διὰ τοῦ ν. A^t: *ex quo alios ἐπαύλους habuisse colligere licet.* Spitzner.

76 *οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος:*

ἔν τισι τῶν ὑπομνημάτων „ἔπος ἔκλυον“. A^t.

89 *μὴ σύ γ᾽ ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν:*

**Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἦρκεν, πεποίηκε δὲ οὕτως „μὴ σύ γ᾽ ἀγαλλόμενος πολέμῳ καὶ δηιοτῆτι“.* Ariston.

92 *Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν:*

**Ζηνόδοτος „προτὶ Ἴλιον αἰπὺ δίεσθαι“.* Ariston.

93 *μή τις ἀπ᾽ Οὐλύμποιο θεῶν αἰειγενετάων:*

**Ζηνόδοτος κατὰ τὸ ἑξῆς τέσσαρας ἀπὸ τούτου ἦρκε, γράφει δὲ ἀντὶ αὐτῶν τοῦτον „μή σ᾽ ἀπογυμνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ“.* Aristonikos in A. **τοὺς γ´* [l. *δ´*?] *ἀθετεῖ Ζηνόδοτος καὶ ἀντ᾽ αὐτοῦ* [l. *-τῶν*?] *γράφει „μή σ᾽ ἀπομουνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ“, ὃν παρῳδεῖ Διονύσιος ὁ Θρᾷξ, ἀντὶ τοῦ λάβῃ „δάκῃ“ λέγων.* V. Bekker hat ohne ersichtlichen Grund *ἀπομουνωθέντα* auch in das vorangehende Schol. eingesetzt.

97 *αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον:*

**ἀθετοῦνται στίχοι τέσσαρες* [97—100]. Ariston. **παντελῶς ἐκβλητέον τοὺς δ´ στίχους . . . καλῶς οὖν, φησιν Ἀρίσταρχος, Ζηνόδοτος ὑπώπτευκεν ὡς εἶεν παρεντεθέντες οἱ στίχοι ὑπὸ τῶν ἀρσενικοὺς ἔρωτας λεγόντων εἶναι παρ᾽ Ὁμήρῳ καὶ ὑπονοούντων παιδικά.* V.

104 *βάλλοντες· δεινὴ δὲ περὶ κροτάφοισι φαεινη —:*

**σὺν τῷ ν̄ τὸ „δεινήν“, ὡς Ἡρωδιανός.* BL. Wie Vs. 59 und *O* 72 dürfte auch hier eine Verwechselung Herodian's mit Aristarch vorliegen.

105 *πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ᾽ αἰεὶ*
κὰπ φάλαρ᾽ εὐποίηθ᾽· ὁ δ᾽ ἀριστερὸν ὦμον ἔκαμνεν:

---

1 *τὸ τῶν* BL, *τούτων* V, *τῶν* D. *πολεμούντων*] *πολεμίων* D. 2 *ἐκεῖ* bis *Μυρμιδόσιν* fehlt V. *καὶ* fehlt D. *Μυρμιδόσιν* L, *-δόσι* D, *-δόνεσι* B. 10 *τοὺς β´ ἀθετεῖ Ζηνόδοτος.* V. 13 *προτὶ* Vill., *πρὸς τὸ* A^t. *διεσ* (mit übergeschriebenem *θ*) A^t. 16 *τοῦτον* Bekk., *τοῦτο* A. 22 *αἲ* V. 29 *δεινὴ δέ: τοῦτο τῆς καναχῆς ἐπίθετον· δι᾽ ἧς* [? *διὸ*] *σὺν τῷ ν̄.* V. 33 *καπ*

γράφεσθαί φησιν ὁ Ἀρίσταρχος καὶ „τύπτετο δ' αἰεὶ κὰπ φάλαρ' εὐποίητα“ διὰ τοῦ π̄, οὐκ εὖ· βούλεται γὰρ λέγειν, καὶ τὰ φάλαρα καναχὴν εἶχεν. A. *τινὲς γράφουσι „τύπτετο δ' αἰεί“. Ariston. *ἔν τισι γράφεται „κὰπ φάλαρα“. ὑπερβατὸν δέ ἐστι· δεινὴν δὲ καναχὴν ἡ πήληξ ἔσχε καὶ τὰ φάλαρα, ἐβάλλετο [δὲ] συνεχῶς. Ariston. *Ἀρίσταρχος διὰ τοῦ καί συνδέσμου „καὶ φάλαρα“ γράφων πάντως βραχὺ διέστελλεν ἐπὶ τὸ „αἰεί“. Nikanor. Lehrs nahm, wenn ich recht vermuthe, wegen γράφεσθαί φησιν ὁ Ἀρίσταρχος, an dem Schol. des Didymos Anstoss (*num hoc recte habet?* hat er beigeschrieben): s. aber die zu *N* 12 citirten Stellen.

120 ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κείρει: οὕτως Ἀρίσταρχος „κεῖρε“ χωρὶς τοῦ ῑ, Ἰακῶς· ἔστι γὰρ ἔκειρε, εἰς ἄπορον καθίστη τὰ τῆς μάχης, ὡς μηδὲν ἔχειν μήσασθαι. A. Ἀρίσταρχος „κεῖρε“ χωρὶς τοῦ ῑ, ἄλλοι δὲ „κείρει“. A[t].

127 λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηίοιο ἰωήν: ἐν τῇ Μασσαλιωτικῇ „ἐρωήν“. A[t].

134 ποικίλον, ἀστερόεντα, ποδώκεος Αἰακίδαο: †τινὲς „κακῶν βελέων ἀλεωρήν“· καὶ γὰρ „ξεῖνος γάρ οἱ ἔδωκεν .... δηίων ἀνδρῶν ἀλεωρήν“ [*O* 532 f.]. V.

140 ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο: *Ζηνόδοτος τοῦτον ἀθετήσας τοὺς ἑξῆς τέσσαρας οὐκ ἔγραφεν. Aristonikos; s. denselben zu *T* 387.

143 Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων: διχῶς, καὶ „τάμε“ καὶ „πόρε“. A[t].

144 Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν: Ἀρίσταρχος „ἐν κορυφῆς“ διὰ τοῦ ν̄. A[t]. Vgl. zu *T* 391.

150 τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη: *Ζηνόδοτος γράφει „Ἅρπυια πόδαργος“. Ariston.

φάλαρ' A (im Lemma wie im Text) V. εὐποίητα V. 1 ἄμεινον „καὶ φάλαρα“ γράφειν, ὡς τῶν παλαιῶν οἱ πλείους, ἵνα καὶ ἡ πήληξ ἐβάλλετο καὶ τὰ φάλαρα. BL; ἄμεινον οὕτως γράφειν, ἵνα καὶ ἡ πήληξ ἐβάλετο καὶ τὰ φάλαρα. V mit dem Lemma καπφάλαρ' εὐποίητα. γράφεσθαι φησὶν A. 4 καπφάλαρα A. 5 καὶ τὰ φάλαρα ἐβάλετο συνεχῶς A, corr. Lehrs und Friedländer. 12 μήδεια A. 13 παρατατικῶς [-κός V]· τὸ γὰρ ἑξῆς ἐστίν, ἔγνω ὁ [ὁ fehlt BL] Αἴας εἰς ἄπορον ἤκουσαν αὐτῷ [ἤκ. αὐτῷ V] τὴν μάχην, ὡς μηδὲν δύνασθαι ἔτι μηχανήσασθαι. BLV. 14 καθῖστη A. 25 „τάμε“ καὶ „πόρε“, διχῶς. V. πόρε Vill., πόρω A[t]. 27 καὶ „ἐν κορυφῆς“. V. ἐν] ν aus κ corr. A[t].

Μυρμιδόνας δ' ἄρ' ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς
156 πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν —:
Ζηνόδοτος „πάντῃ ἀνὰ κλισίας". A[t].

161 λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ:
*Ζηνόδοτος γράφει „λάψαντες" διὰ τοῦ ᾱ. Ariston.

175 ὃν τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη:
χωρὶς τοῦ ῑ „ὃν τέκε" Ἀρίσταρχος. οὕτως καὶ Ἀριστοφάνης. A[t]. Andere τὸν τέκε.

†Ζηνόδοτος δὲ „Κλεοδώρην" φησίν, Ἡσιόδου καὶ τῶν ἄλλων „Πολυδώρην" αὐτὴν καλούντων. V. Davon weiss Aristonikos z. St. nichts. Vgl. W. Ribbeck Philol. IX 73.

177 αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἱῷ:
†διὰ τοῦ ῑ μόνου γράφεται ἡ τελευταία συλλαβή· διὸ προπερισπαστέον ὁμοίως τῷ „Νηληίῳ υἷι ἐοικώς" [B 20]. εἰ μέντοι διὰ τῆς ει διφθόγγου ἐγράφετο ἡ τελευταία, περιεσπᾶτο, ἀπ' εὐθείας οὖσα τῆς υἱεύς, ὁμοίως τῷ „υἱεῖ ἐμωκυμόρῳ" [Σ 458]. Herodian; s. denselben zu E 266.

183 ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς:
†ἀθετεῖται δέ· ἠδέσθη γὰρ ἂν [näml. Hermes] τὴν θεόν. V.

188 ἐξάγαγεν φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς:
οὕτως καὶ Ἀριστοφάνης „φόωσ δέ"· Ζηνόδοτος [δὲ] „πρὸ φόως δέ" [aus T 118]. A[t]. Letzteres bestätigt Aristonikos z. St. und zu T 118.

196 τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ:
†τινὲς γράφουσι „γερήνιος ἱππότα Φοῖνιξ", λέγοντες ὡς καὶ Νέστωρ διὰ τὸ εἶναι γέρων οὕτως ἐκαλεῖτο. BLV.

202 πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ᾐτιάασθε ἕκαστος:
*Ζηνόδοτος ἔν ποιῶν γράφει χωρὶς τοῦ ῑ „μητιάασθε", λαμβάνων ἀπὸ τῆς μήτιδος, οἷον ἐβουλεύεσθε. γίνεται δὲ ἀδιανόητον· διὸ δεῖ σὺν τῷ ῑ γράφειν „ᾐτιάασθε". Ariston.

207 ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε —:
Ἀρίσταρχος Ἰακῶς „θαμὰ βάζετε". A[t].

---

3 πάντη ἀνα κλησιας A[t]. 4 λαμψοντες A. 5 πιόμενοι. Ζηνόδοτος δὲ „λάψαντες" [-οντες V], ἐμπλησθεῖσιν αὐτοὺς εἰκάζων [εἰκάζων αὐτοὺς V], οὐ καλῶς [beides fehlt V]. BLV. 13 προπερισπαστέον καὶ διὰ τοῦ ῑ γραπτέον. V. 16 ἐμωκυμόρῳ Lehrs st. ἐμ' ὠκυμόρῳ. 20 προφόως δὲ V. 21 δὲ nach Ζην. fügte Vill. zu. προφώωσ δὲ A[t]. Ἀρίσταρχος χωρὶς τῆς „πρό". Ζηνόδοτος μᾶλλον ἐπὶ τοῦ Εὐρυσθέως ἁρμόζειν φησὶ τὸ „προφόως"· ἠλιτόμηνος γάρ. V. 25 Φοινιξ fehlt L. 28 τινὲς δὲ „μητιάασθε" [στίζουσιν fügt V zu], κακῶς [οὐχ ὑγιῶς V]. BLV. 31 θάμ' A.

215 *ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ:* †τινὲς „κόρυθα“· οὐ γάρ ἐστιν ὅμοιον τῷ πίτυς, ἵνα εἰς ν̄ ποιήσῃ τὴν αἰτιατικήν. καὶ „κόρυθα βριαρήν“ φησιν [Λ 375]. ἔστι δὲ ὅμοιον τῷ ὄρνιν. V. Vgl. hingegen Lentz Her. II p. 762, 20.

223 *θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἐῢ πλήσασα χιτώνων:* Ζηνόδοτος καὶ Ἀριστοφάνης „θῆκ' ἐπὶ νηὸς ἰόντι“. A[t].

227 *οὔ τέ τεῳ σπένδεσκε θεῶν, ὅτι μὴ Διὶ πατρί:* οὕτως Ἀρίσταρχος „ὅτι μὴ Διί“, ἄλλοι δὲ δια τοῦ ε̄ „ὅτε“. A[t].

228 *τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ:* οὕτως Ἀρίσταρχος „τό ῥα“ διὰ τοῦ ἑνὸς ρ̄. A[t]. (οἱ δὲ Ἀριστάρχειοι δι' ἑτέρου ρ̄ ἔχουσι τὰς τοιαύτας γραφάς, ὡς Ἡρακλέων φησὶν ἐν τῇ Π τῆς Ἰλιάδος „τό ῥα τότ' ἐκ χηλοῖο λαβών“. Schol. Apollon. Rhod. I 769. „ὄρρα τέ οἱ“ διὰ δύο ρ̄ρ̄. οἱ δὲ Ἀριστάρχειοι [δι' ἑτέρου ρ̄] γράφουσιν, ὡς καὶ παρὰ τῷ ποιητῇ „τό ῥα τότ' ἐκ χηλοῖο λαβών“ φησιν Ἡρακλέων. Derselbe III 37.)

233 *Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων:* *οὕτω δὲ καὶ Ἐπαφρόδιτος ἐν τῇ Π τῆς Ἰλιάδος· „τιμᾷ τοὺς ἐν Δωδώνῃ ἔχοντας ἐπιφανὲς μαντεῖον, *τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι* [ξ 327. τ 296]. ἐπικέκληκε δὲ Ἀχιλλεὺς τὸν ἐν τῇ Θεσσαλίᾳ γειτνιῶντα θεόν, ὡς καὶ ὁ Πάνδαρος εὔχεται τῷ Λυκηγενεῖ [Δ 119] καὶ ὁ Χρύσης τῷ Σμινθεῖ [Α 39]. τὸν δὲ Δωδωναῖον ἔλεγον καὶ Νάιον. Ζηνόδοτος δὲ γράφει ʽΦηγωναῖε', ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο“. καὶ Σουίδας δέ φησι Φηγωναίου Διὸς ἱερὸν εἶναι ἐν Θεσσαλίᾳ, καὶ τοῦτον ἐπικαλεῖσθαι. ἕτεροι δὲ γράφουσι „Βωδωναῖε“· πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. Steph. Byz. s. v. Δωδώνη p. 246, 15 Mein. (οἱ δὲ γράφουσι „Φηγοναῖε“ [Φηγων. Heyne]· Σκοτουσαῖοι γάρ φασι παρ' ἑαυτοῖς λόφον εἶναι φακόεντα ἀπέχοντα Σκοτούσης σταδίους ιε', ἐν ᾧ Διὸς Φηγοναίου ἐστὶν ἱερόν. V. οἱ δὲ γράφουσι „Βωδωναῖε“· πόλις γὰρ Θεσσαλίας ἡ Βωδὼν [βώδων B, βωδώνη V], οὗ τιμᾶται Ζεύς [τιμᾶσθαι τὸν Δία V]. τινὲς δὲ „ἀναδωδωναῖε“ [ἄνα δ. V] ὑφ' ἕν [ὑφέν B], παρὰ τὴν

---

2 εἰς ῡ V, corr. Bekk. 6 νῆας V. 7 οἱ περὶ Ζηνόδοτον „θῆκ' ἐπὶ νηὸς ἰόντι“. V. 8 οὔ τέ τεω V. 9 Ἀρίσταρχος „ὅτι“ [οὔτι V, τὸ ὅτε B] διὰ τοῦ ῑ· οὐ γὰρ ὅτε Διί, καὶ τοῖς ἄλλοις ἔθυε [-εν L]. καλῶς δὲ τῷ προπάτορι Διὶ ἀφώρισε μόνῳ τὴν φιάλην. BLV. 11 δι' ἑνὸς ρ̄ αἱ Ἀριστάρχου. V. 14 αἱ δὲ ἀριστάρχειοι γράφουσιν L, corr. Keil.

ἀνάδοσιν [-*δῶσιν* V] *τῶν ἀγαθῶν*. BLV. „*Πελασγικὲ*“ *δέ, ὅτι* [*δὲ ὅτι* fehlt V] *ὑπὸ Πελασγῶν· ἵδρυται* [-*υνται* V] *το περὶ Δωδώνην τέμενος. οἱ δὲ* „*Πελαργικέ*“· *λόφον γὰρ εἶναι λευκὸν ἐκεῖ φασιν οὕτω καλούμενον* [*ἐν γὰρ τὸ* (l. *τῷ*) *τεμένει λόφον εἶναι λευκόν, ὃν οὕτω καλεῖσθαι παρὰ τῷ ποιητῇ* V statt *λόφον γὰρ* bis *καλούμενον*]. *οἱ δὲ* „*Πελαστικέ*“, *οὗ* [*ὅτι* V statt *οὗ*] *πέλας ἐστὶν ὁ ἀήρ*. BLV. Es ist nicht zu entscheiden, ob ausser *Φηγωναῖε* noch eine dieser Varianten in dem Buche des Didymos Erwähnung gefunden hatte.)

234 *Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ* —: **οἱ περὶ Ζηνόδοτον* „*πολυπίδακος*“ *διὰ τὸ Καλλιμάχου* [Fr. 484 Schn.] „*κρηνέων τ' Εὐρώπῃ* [*'Ελλοπίῃ* O. Schneider] *μισγομένων ἑκατόν*“. V. Düntzer Zen. p. 117 substituirt *'Αντίμαχον* für *Ζηνόδοτον*, wogegen O. Schneider gegründeten Einspruch erhoben hat.

**πρὸς τὸ τῆς γραφῆς ἀμφίβολον· οἱ μὲν γὰρ Σελλούς, οἱ δὲ Ἑλλοὺς ἐξεδέξαντο. δεῖ δὲ νοεῖν ὡς ἔστιν ἐκ πλήρους Σελλοί· καὶ γὰρ ὁ συνορίζων τοῖς τόποις ποταμὸς Σελλήεις, ἀφ' οὗ εἰκὸς τοὺς παροίκους Σελλοὺς καλεῖσθαι*. Ariston. **ὁ μὲν Πίνδαρος 'Ελλοὺς αὐτοὺς οἴεται. δεῖ δὲ ἀπὸ τοῦ σ̄ ἄρχεσθαι τὴν λέξιν, ἀπὸ Σελλήεντος ποταμοῦ*. A (Didymos?). Vgl. Herodian z. St. und die von Böckh Pindari fragm. 31 citirten Stellen.

237 *τίμησας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν 'Αχαιῶν*: **ο μὲν ὀβελὸς πρὸς τὴν προειρημένην* [s. Ariston. zu Vs. 236] *ἀθέτησιν, ὁ δὲ ἀστερίσκος, ὅτι ἐκ τῆς τοῦ Χρύσου εὐχῆς* [*A* 454] *μετενήνεκται*. Ariston. *Ζηνόδοτος οὐδὲ γράφει, 'Αριστοφάνης ἀθετεῖ*. V. Vgl. Einl. § 15.

243 *εἴσεται, ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν*: **Ζηνόδοτος γράφει* „*ἐπιστέαται*“. Ariston.

248 *τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν*: **ἔστι μέντοι καὶ σύνθετόν ποτε, καὶ τρίτη ἀπὸ τέλους ἔσται ἡ ὀξεῖα, ἀπ' εὐθείας τῆς σύμπαντες καὶ αἰτιατικῆς τῆς* „*σύμπαντας· τοῖς δ' οὔ τι δυνήσεαι ἀχνύμενος*“ [*A* 241]· *καὶ οὕτως ἀνεγνώσθη τὸ* „*σύμπασι Πυλίοισι*“ [*γ* 59]. *καὶ δῆλον ὅτι ἐνθάδε μὲν η γραφὴ διὰ τοῦ μ̄ ἐστι*[*ν*], *ἐπεὶ κατὰ σύνθεσιν, ἐν δὲ τῷ* „*τεύχεσί τε ξὺν πᾶσι*“ *φυλάξει τὸ ν̄ ἑαυτῆς ἡ πρόθεσις διὰ τὴν παράθεσιν*. Herodian.

---

12 *κρηναίων* V. 13 *ἑκατόν*] ρ̄ V. 24 *'Αρίσταρχος ἀθετεῖ τὸ* „*τιμήσαμεν εἴη*“ [*'l. τὸ τίμησας μὲν ἐμέ'* Lehrs]. V zu *O* 75.

252 δῶκε, σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι: διχῶς γράφεται, καὶ „σόον" καὶ „σάον". A^t. Aus Did. Α 117 und Ι 681 folgt, dass Aristarch an unserer Stelle einmal der Schreibart σόον den Vorzug gegeben hatte. (σόον: γρ' καὶ „σάον" διὰ τὸ „σαώτερος ὥς κε νέηαι" [Α 32] καὶ „σάω δ' ἐρίηρας ἑταίρους" [Π 363]. οὐ πρὸς τὸ „ἤν γάρ δή με σάωσι θεοὶ καὶ οἴκαδ' ἵκωμαι" [Ι 393]. V. Lobeck Pathol. elem. II p. 121.)

254 ἄψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῷ: οὕτως „ἀπέθηκε" διὰ τοῦ ᾱ. A^t. Andere ἐπέθηκε.

261 αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ἔχοντας: *ἀθετεῖται. Ariston. ἠθέτει καὶ Ἀριστοφάνης. A^t.

Ἀρίσταρχος „ἔχοντας" διὰ τοῦ ᾱ, καὶ ἅπασαι. A^t. τινὲς δὲ „ὁδῷ ἔπι οἰκί' ἔχοντες" γράφουσιν, ἐπὶ τῶν παίδων ἀκούοντες. BLV.

272 Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες: *Σέλευκος δὲ ἀθετεῖ. V.

πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες,

281 ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα —: *ἀντὶ τοῦ ἐλπομένων. Ζηνόδοτος δὲ γράφει „ἐλπόμεναι", ἐπὶ τῶν φαλάγγων. ἐπαινεῖ δὲ Ἀρίσταρχος, ὅτι οὐ φεύγοντας ἐποίησεν εὐθέως, ἀλλὰ καταπλησσομένους. V. *Haec* ἀντὶ *seqq. videntur coniuncta fuisse cum eo, ubi nunc desinit Cod. A* ἐλπομένοις *vel* ἐλπόμενοι *(nam in incerto et recenti fortasse auctore vel hoc cogitari potest).* Lehrs; s. Friedländer Ariston. p. 264.

290 κάππεσεν οἰμώξας, ἕταροι δέ μιν ἀμφεφόβηθεν: Ἀρίσταρχος Ἰακῶς „ἀμφὶ φόβηθεν". A^t.

313 Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας: Ἀριστοφάνης „ὑφορμηθέντα", ἀντὶ τοῦ ὑποχωρήσαντα· καὶ οὐκ ἄχαρις ἡ γραφή. BLV.

---

5 σάον] σάο V. σαότερος ὥς κεν V. 12 ἠθε̄ A^t. 13 ἅπασαι Vill., ἅπασ:— so A^t. 14 ὁδῷ ἐπὶ V. 27 ἐκ πλήρους ἡ „ἀμφί". BLV. 29 *Lectionem* ὑφορμηθέντα *male schol. interpretatur* ὑποχωρήσαντα. *Improbandum quod Spitznerus coniicit Aristophanem habuisse* ἀφορμηθέντα, *quocum vel* ἔφθη *manifesto pugnat. Quod idem* ὑφορμᾶσθαι *addubitat, quoniam verbum et praepositio fere contrarium sonent, immemor erat, praepositionem* ὑπό *de iis saepe rebus usurpari quae clam et furtim fiant: ita* ὑφορμᾶσθαι *est clam aggredi, 'unvermerkt auf jemand eindringen'.* Nauck Aristoph. p. 49.

345 *Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα* —: †*παρὰ τὸ ἔρυμα. τινὲς δὲ „Ὀρύμαντα“.* V.

353 *σίνται, ὑπὲκ μήλων αἱρεύμενοι, αἵ τ' ἐν ὄρεσσι* —: *οὕτως „αἵ τε“ θηλυκῶς, αἱ ὄιες.* A^t. Andere *οἵ τε.*

354 *ποιμένος ἀφραδίῃσι διέτμαγεν* —: *οὕτως διὰ τοῦ ε̄ „διέτμαγεν“.* A^t. **ὅτι οὕτως δεῖ γράφειν „διέτμαγεν“, ὡς „κόσμηθεν“* [Γ 1, w. s.], *ἵν' ᾖ διετμάγησαν, παθητικῶς· τὸ γὰρ „διέτμαγον“ ἐνεργητικόν ἐστιν.* Ariston. Vgl. zu Vs. 374. 507 und Λ 531.

365 *αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ*: *(*τὸ δὲ „λαίλαπα τείνῃ“*) *ὅταν, φησίν, ὁ Ζεὺς ἐκ τῆς αἰθρίας ἐπιτείνῃ λαίλαπα. ἐν δὲ τοῖς ὑπομνήμασι κατὰ δοτικὴν ἦν „λαίλαπι“, ἵν' ᾖ ὅταν ὁ Ζεὺς ἐν λαίλαπι παρατείνῃ τὰ νέφη.* B L V.

374 *πάσας πλῆσαν ὁδούς, ἐπεὶ ἄρ τμάγεν* —: *καὶ τοῦτο* [wie 354 *διέτμαγεν*] *διὰ τοῦ ε̄.* A^t. (*τμάγεν: διεκόπησαν καὶ διεσκορπίσθησαν ἀπ' ἀλλήλων.* BL.)

